historiques

...ΕΚΤΑ ΜΥΘΙΣΤΟΡΙΑΣ

...ρθέντα καὶ διασκευασθέντα, ὥστε

...ΤΟΙΣ ΣΤΟΙΧΕΙΩΔΩΣ

ἀλλὰ τέρπειν ἐπὶ τὴν

ΕΛΛΗΝΙΚΗΝ ΓΛΩΣΣΑΝ.



ΕΝ ΜΑΡΙΑΝΟΠΟΛΕΙ·

Παρὰ Ἰωάννῃ Ἰωάννου

ΑΩΛΖ

[illegible] τοῦ Τυπογραφείου τοῦ [illegible]

Presented by the Revd

John Larkin Professor

of Philosophy in the Col-

lege of Montreal to

John Falvey

Feby 16. 1837

ἘΚΛΕΚΤΑ ΜΥΘΙΣΤΟΡΙΑΣ

οὕτως ἁρμοσθέντα καὶ διαταχθέντα, ὥστε

ΤΟΙΣ ΣΤΟΙΧΕΙΑΚΟΙΣ·

ὁδὸν τέμνειν ἐπὶ τὴν

ἙΛΛΗΝΙΚΗΝ ΓΛΩΣΣΑΝ.



ἘΝ ΜΑΡΙΑΝΟΠΟΛΕΙ·

Παρὰ Ἰωάννῃ Ἰωνέσῳ.

,ΑΩΛΖ΄

Ἐκ τοῦ Τυπουργείου τοῦ Θώμα Γερὶν

District de Montreal. } BUREAU DES PROTONOTAIRES.

Le neuvième jour de Janvier, 1837.

Qu'il soit notoire que le neuvième jour de Janvier, dans l'année mil huit cent trente-sept, Messire Joseph Vincent Quiblier, Piêtre et Supérieur de MM. les Ecclésiastiques du Séminaire de Montréal, a déposè dans ce Bureau le titre d'un livre dans les mots suivans, savoir: " 'ΕΚΛΕΚΤΑ ΜΥΘΙΣΤΟΡΙΑΣ, αὕτως ἁρμοσθέντα καὶ διαταχθέντα, ὥστε τοῖς στοιχειακοῖς ὁδὸν τέμνειν ἐπὶ τὴν Ἑλληνικὴν γλῶσσαν·" Au sujet du quel il réclame le droit de propriété.

Enregistré conformément à l'Acte Provincial, intitulé, " Acte pour protéger la propriété littéraire."

L. S.

MONK & MORROGH, P. B. R.

John Jones, Imprimeur.

ʼΕΚΛΕΚΤΑ ΜΥΘΙΣΤΟΡΙΑΣ.

CAP. I.

Οὐρανὸς Γῆ καὶ Τέκνα αὐτῶν.

Οὐρανὸς πρῶτον τὴν ἀρχὴν εἶχ-ε (1.) τοῦ παντὸς κόσμου. Γήμ-ας (2.) δὲ Γῆν, ἐ-τέκνωσε τοὺς Ἑκατόγ-χειρας, Βριάρε-ων (3.) Γύην Κόττον, τοὺς, χεῖρας μὲν ἑκατὸν κεφαλὰς δὲ πεντήκοντα, ἔχ-οντας.

Μετὰ τούτους δὲ, αὐτῷ τεκν-οῖ Γῆ, Κύκλωπας, Ἄργην, Στερόπην, Βρόντην, ὧν ἕκαστος εἶχε μόνον ὀφθαλμὸν ἐπὶ τοῦ μετ-ώπου. Ἀλλὰ τούτους μὲν Οὐρανὸς δή-σας, εἰς Τάρταρον ἔῤῥιψ-ε, τόπον ἐρεβώδεα τὸ αὐτὸ ἀπὸ γῆς ἔχοντα διά-στημα, ὃ ἀπ᾽ οὐρανοῦ γῆ.

Τεκν-οῖ δὲ αὖθις ἐκ Γῆς παῖδας μὲν τοὺς Τιτᾶνας· θυγατέρας δὲ τὰς Τιτανίδας (4.).

Ἀγανακτ-οῦσα δὲ Γῆ ἐπὶ τῇ ἀπ-ωλείᾳ τῶν παίδων, οὓς εἰς Τάρταρον ἐῤῥίφ-ει Οὐρανὸς

(1.) Imparf. de ἔχω. (2.) Aor. prim. part. de γάμω inusité : usité γαμέω. (3.) Accus. sing. Attique de Βριάρεως. (4.) Les Titans sont Ὠκεανὸς, Κοῖος, Ὑπερίων, Κρῖος, Ἰαπετὸς, Κρόνος. Les Titanides, Τηθὺς, Ῥέα, Θέμις, Μνημοσύνη, Φοίβη, Διώνη Θεία:

πείθ-ει τοὺς Τιτᾶνας πολεμ-εῖν πόλεμον πρὸς τὸν Πατέρα, καὶ δίδω-σι ἀδαμαντίνην ἅρπην Κρόνῳ Οἱ δὲ 'Ωκεανοῦ χωρὶς ποι-οῦσι. Καὶ Κρόνος τραυματίζ-ει τὸν Πατέρα, καὶ τὴν ἀρχὴν σφετερίζ-ει. Οἱ δὲ σταλαγμοὶ τοῦ ῥέοντος αἵματος τὰς 'Ερινύας (1.) ἐγέννη-σαν.

CAP. II.

Κρόνος καὶ Παιδο-φαγία αὐτοῦ.

Τῷ δὲ Κρόνῳ 'Ρέαν γήμ-αντι, Γῆ τε καὶ Οὐρανὸς ἐθεσπιώδ-ουν, λέγοντες "Παῖς σου τὴν ἀρχὴν ἀπὸ σοῦ ἀφαιρ-ήσει." 'Εκ τούτων κατ-έπι-ε (2.) τὰ τέκνα, 'Εστίαν, Δήμητραν, "Ηραν, Πλούτωνα καὶ Ποσειδῶνα. 'Αγανακτοῦσα δὲ ἐπὶ τούτοις 'Ρέα, γεννᾷ ἐν ἄντρῳ τῆς Δίκτης Δία (3.). "Ετρεφ-ον δὲ αὐτὸν αἱ Νύμφαι 'Αδράστεια καὶ "Ιδη, τῷ τῆς 'Αμαλθείας γάλακτι· 'Ρέα δὲ λίθον σπαργαν-ώσασα δέδω-κε Κρόνῳ κατα-πι-εῖν.

CAP. III.

Ζεὺς ἐκ τῆς ἀρχῆς ἐκ-βάλλ-ει τὸν Κρόνον.

Χρόνος ἐν μέσῳ, καὶ Ζεὺς λαμβάν-ει Μῆτιν, τὴν

(1.) Les Furies sont, 'Αληκτὼ, Τισιφόνη, Μέγαιρα.
(2.) Aor. sec. de καταπίνω (3.) Dicté est une Montague de l'isle de Créte, Δία, accus. de Ζεὺς, Jupiter.

'Ωκεανοῦ θύγατρα, συνεργόν. Ἡ δίδω-σι Κρόνῳ κατα-πι-εῖν φάρμακον. Ἐκεῖνος δὲ πρῶτον μὲν ἐξ-εμ-εῖ τὸν λίθον, ἔπειτα τοὺς παῖδας οὓς κατ-έπι-ε. Μεθ' ὧν Ζεὺς, λύ-σας τοὺς Κύκλωπας, ἔλαβε (1.) παρ' αὐτῶν βροντὴν καὶ ἀστραπὴν καὶ κεραυνόν· Πλούτων δὲ κυνέην· Ποσειδῶν δὲ τρίαιναν. Οἱ δὲ πόλεμον πολεμ-ήσαντες πρὸς Κρόνον καὶ Τιτᾶνας ἐνίκ-ησαν αὐτούς. Ζεὺς μὲν οὖν λαγχάν-ει τὴν ἐν οὐρανῷ δυναστείαν. Ποσειδῶν δὲ τὴν ἐν θαλάσσῃ Πλούτων δὲ τὴν ἐν Ἅιδῃ.

CAP. IV.

Ζεὺς καὶ Τέκνα αὐτοῦ.

Ζεὺς δὲ γαμ-εῖ μὲν Ἥραν, καὶ τεκν-οῖ Ἥβην, Ἄρην, Ἥφαιστον· ἔτι δὲ καὶ Μοίρας (2.) καὶ Χάριτας καὶ Μούσας καὶ Ἀφροδίτην καὶ Περσεφόνην ἐξ ἄλλων μητέρων. Ἐπειδὴ δὲ αἰσχρὸς ἔδοξ-εν Ἥφαιστος ῥίπτ-ει αὐτὸν ἐξ οὐρανοῦ Ζεύς. Ἔπεσ-ε δὲ ἐν Λήμνῳ Ὅθεν ἡ αὐτοῦ πήρωσις ποδῶν.

Ἧδε δὲ ἡ Ἀθηνᾶς γένεσις. Κεφαλ-αλγ-οῦντος

(1.) Aor. sec. de l'inusité λήβω: usité λαμβάνω.

(2.) Voici les noms des Parques, Κλωθὼ, Λάχεσις, Ἄτροπος· des Graces, Ἀγλαΐη, Εὐφροσύνη, Θάλεια· des Muses, Καλλιόπη, Κλειὼ, Μελπομένη, Εὐτέρπη, Ἐρατὼ, Τερψιχόρη, Οὐρανία, Θάλεια, Πολυμνία.

Διὸς ἔπληξ-ε τὴν κεφαλὴν πελέκει Προμηθεὺς, ἢ καθάπερ ἄλλοι λέγ-ουσιν, Ἥφαιστος καὶ ἐκ κορυφῆς ἐπὶ ποταμοῦ Τρίτωνος, Ἀθηνᾶ σὺν ὅπλοις ἀνέθορ-ε (1.). Ἔπειτα Λητὼ δίδω-σι τῷ Θεῶν ἄνακτι θυγατέρα Ἄρτεμιν, καὶ υἱὸν Ἀπόλλωνα· τούτους δὲ ἔτεκ-ε Λητὼ ἐν Δήλῳ.

Ἕτερον δὲ Διὸς υἱὸν καλοῦ-μεν Ἑρμῆν οὗ ἡ μήτηρ Μαῖα ἡ Ἄτλαντος θυγάτηρ. ἕτερον δὲ Διόνυσον οὗ ἡ μήτηρ Σεμέλη.

CAP. V.

Ἀπόλλωνος Πράξεις.

Ἀπόλλων τὴν μαντικὴν μαθ-ὼν (2.) παρὰ τοῦ Πανὸς, ἧκεν εἰς Δελφοὺς ὅπου ἐ-χρησμ-ῴδ-ει Θέμις. Ὡς δὲ ὁ φρουρ-ῶν τὸ μαντεῖον Πύθων ὄφις ἐκώλυ-εν αὐτὸν παρ-ελθ-εῖν (3.) ἐπὶ τὸ χάσμα τοῦτον· ἀν-ελῶν (4.), τὸ μαντεῖον παραλαμβάνει. Κτείνει δὲ μετ' οὐ πολὺ καὶ Τιτυὸν, τὸν υἱὸν Διὸς, τὴν Λητὼ ὑβρίζ-οντα· τοῦτον δὲ καὶ μετὰ θάνατον κολάζ-ουσι γῦπες, αὐτοῦ τὴν καρδίαν ἐσθί-οντες.

(1.) Aor. sec. de ἀναθόρω, ou ἀναθορέω, inusités au présent, où l'on dit ἀναθρώσκω.

(2.) Aor. sec. de l'inusité μάθω· usité μανθάνω. (3.) Aor. sec. de παρελεύθω inusité; usité παρέρχομαι verbe déponent. L'aor. sec. ἦλθον, est pour ἤλυθον. (4.) Aor. sec. de l'inusité ἀνέλω ; usité ἀναιρέω.

'Απ-έκτειν-ε δὲ 'Απόλλων κ… τὸν Μαρσύαν. Οὗτος γὰρ εὑρ-ὼν (1.) αὐλοὺς, …ὓς ἔῤῥιψ-εν 'Αθηνᾶ, ὅτι τὴν ὄψιν αὐτῆς ποι-οῦσιν ἄμορφον, ἦλθ-εν εἰς ἔριν περὶ μουσικῆς 'Απόλλωνι. Συν-ε-φών-ησαν δὲ τοῦτο· ὅτι ὁ νική-σας ὅπη αὐτῷ φίλον, δια-θ-ήσει ἕτερον. Ὁ μὲν οὖν 'Απόλλων στρέψ-ας τὴν κιθάραν, καὶ τοῦτο ποι-εῖν ἐκέλευσε τὸν Μαρσύαν· οὗτος δὲ ἠδυνάτ-ει· καὶ κρεμ-άσας (2.) αὐτὸν 'Απόλλων ἔκ τινος ὑπερτενοῦς πίτυος, ἐκ-ταμ-ὼν (3.) τὸ δέρμα οὕτως δι-έ-φθειρ-εν.

'Απόλλων καὶ Ποσειδῶν τὴν Λαομέδοντος ὕϐριν πειρ-άσαι θέλ-οντες, εἰς ἀνθρώπου φύσιν μετα-ϐαλ-όντες, συν-ε-φών-ησαν αὐτῷ ἐπὶ μισθῷ τειχι-εῖν τὸ Πέργαμον. Τοῖς δὲ τειχίσασι τὸν μισθὸν οὐκ ἀπ-ε-δίδ-ου. Διὰ τοῦτο 'Απόλλων μὲν λοιμὸν ἔπεμψ-ε· Ποσειδῶν δὲ θαλάσσιον πέλωρ, ὃ τοὺς ἐν τῷ πεδίῳ συνήρπαζ-εν ἀνθρώπους.

Ζεὺς 'Ασκληπιὸν τὸν υἱὸν τοῦ 'Απόλλωνος ἐκεραύν-ωσεν. Καὶ διὰ τοῦτο ἀγανακτ-ήσας 'Απόλλων, κτείνει Κύκλωπας, τοὺς τὸν κε-

(1.) Aor. sec. de εὑρίσκω forme allongée de εὕρω inusité.

(2.) Aor. pr. de κρεμμάννυμι, forme allongée de κρεμάω.

(3. Aor. sec. de ἐκτέμνω.

ραυνὸν Διῒ κατα-σκευά-σαντας. Ζεὺς δὲ ἐμέλλησε ῥίπτειν αὐτὸν εἰς Τάρταρον. 'Ε-πειδὴ δ' ἱκέτευ-σεν αὐτὸν Λητὼ, ἐκέλευ-σεν τὸν 'Απόλλωνα ἐφ' ἐνιαυτὸν ἀνδρὶ θητεῦ-σαι (1). 'Ο δὲ ἐλθὼν εἰς Φερὰς πρὸς "Αδμητον, τούτῳ λα-τρεύ-ων ἐποίμαιν-ε, καὶ τὰς θηλείας βόας πά-σας διδυμα-τόκους ἐποί-ησεν.

CAP. VI.

Περὶ "Αρους.

Ποσειδῶν δύο ἐγένν-ησε παῖδας, *Ωτον καὶ 'Ε-φιάλτην, οὓς 'Αλωείδας καλοῦσιν, ὅτι ἡ μήτηρ αὐτῶν ὑπ-ῆρχ-εν 'Ιφιμέδεια ἡ 'Αλωέως γυνή. Οὗτοι κατ' ἐνιαυτὸν πλάτος μὲν εἶχ-ον πηχυ-αῖον, μῆκος δὲ ὀργυιαῖον. Μετὰ δὲ ἐννέα ἔτη τὸ μὲν πλάτος πηχῶν ἔχ-οντες ἐννέα, τὸ δὲ μέ-γεθος ὀργυιῶν ἐννέα, πρὸς Θεὸν πόλεμον πολεμ-οῦντες, καὶ τὴν μὲν "Οσσαν ἐπὶ τὸν "Ολυμπον ἔθ-εσαν, ἐπὶ δὲ τὴν "Οσσαν θ-έντες τὸ Πήλιον, διὰ τῶν ὀρῶν τούτων ἠπείλ-ουν εἰς οὐρανὸν ἀνα-βαίν-ειν· καὶ τὴν μὲν θάλασσαν, χώ-σαντες τοῖς ὄρεσι ποι-ήσειν (2) ἔλεγ-ον ἤπειρον, τὴν δὲ

(1.) Les verbes signifiant *service* prennent le datif.

(2.) ἔλεγον ἑαυτοὺς ποιήσειν,. phrase-objet de narration, avec le sujet du verbe-objet sousentendu: Ce qui est d'usage quand il est le même qui le sujet principal.

γῆν θάλασσαν. Ἔδησαν δὲ καὶ Ἄρην· τοῦ-τον μὲν οὖν Ἑρμῆς ἐξέ-κλεψ-εν.

CAP. VII.

Περὶ Ἀρτέμιδος.

Ἀνεῖλ-ε (1.) δὲ τοὺς Ἀλωείδας ἐν Νάξῳ Ἄρτεμις δι' ἀπάτης. Ἀλλάξ-ασα γὰρ τὴν ἰδέαν εἰς ἔλαφον, διὰ μέσου αὐτῶν ἐπήδ-ησεν. Οἱ δὲ θέλ-οντες εὐ-στοχ-ῆσαι τὸ θηρίον, ἐφ' ἑαυτοὺς ἠκόντι-σαν.

Ὠρίωνα δὲ Ἄρτεμις ἀπ-έ-κτειν-εν ἐν Δήλῳ. Τοῦτον γηγενῆ λέγ-ουσιν ὑπερμέθη τὸ σῶμα(2). Ἔδω-κε δὲ αὐτῷ Ποσειδῶν δια-βαίν-ειν τὴν θάλασσαν. Ἐλθ-ὼν δὲ εἰς Χίον, Μερόπην τὴν (3.) Οἰνοπίωνος ἐ-μνήστευ-σε (4.). Μεθύσας δὲ Οἰνοπίων αὐτὸν καθ-εύδοντα ἐ-τύφλ-ωσε, καὶ παρὰ τοῖς αἰγιαλοῖς ἔῤῥιψ-εν. Ὁ δὲ ἁρπά-σας παῖδα, καὶ ἐπὶ τῶν ὤμων ἐπι-θ-εὶς (5.), ἐ-κέλευ-σε ποδ-ηγ-εῖν πρὸς τὰς ἀνατολάς. Ἐκεῖ ἀν-έ-βλεψ-εν· ἡ γὰρ ἡλιακὴ ἀκτὶν ἐ-καύ-σεν αὐτόν. Τὸν δὲ Ὠρίωνα, ὡς μὲν ἔνιοι λέγ-ουσιν ὑβρίζ-

(1.) Aor. sec. ou ancien imp. de ἀνέλω, qui sert de Aor. 2 au verbe ἀναιρέω. (2.) κατὰ sousentendu. (3.) θυγατέρα sousentendu. (4.) Il faudrait ici le moyen ἐμνηστεύσατο. Je mets l'actif parceque les elèves ne sont pas encore censés savoir le moyen. (5.) Il faudroit ici ἐπιθέμενος, part. moyen.

οντα αὐτὴν ἐ-τόξευ-σεν Ἄρτεμις· ὡς δέ τινες ἄλλως, μετ-ήλλαξ-ε.

Ἡρακλεῖ ἐπ-έ-ταξ-εν Εὐρυσθεὺς τὴν Κερυνῖτιν ἔλαφον εἰς Μυκήνας ἐμ-πνοῦν ἐνεγκ-εῖν(1.). Ὑπ-ῆρχ-ε δὲ ἡ ἔλαφος χρυσόκερως, Ἀρτέμιδος ἱερά. Διὸ καὶ θέλ-ων αὐτὴν Ἡρακλῆς μήτε ἀν-ελ-εῖν (2.) μήτε τρῶ-σαι (3.), συν-ε-δίωξεν ἀνὰ ὅλον ἐνιαυτόν. Ἐπεὶ δὲ κάμν-ον τὸ θηρίον τῇ διώξει συν-έ-φυγ-εν εἰς ὄρος Ἀρτεμίσιον, κἀκεῖθεν (4.) ἐπὶ ποταμὸν Λάδωνα, καὶ τοῦτον δια-βαίν-ειν μέλλουσαν (5.) τοξεύ-σας συν-έ-λαβ-ε (6.), καὶ θεὶς (7.) ἐπὶ τῶν ὤμων διὰ τῆς Ἀρκαδίας ἐσπεύ-δε. Ἰδοῦσα (8.) δὲ αὐτὸν Ἄρτεμις, τὸ ἱερὸν ζῶον αὐτῆς κτείν-αντα ὠνείδισεν. Ὁ δὲ εἰς πρόφασιν τὴν ἀνάγκην κατα-φεύγ-ων, καὶ τὸν αἴτιον εἰπ-ὼν Εὐρυσθέα γεγον-έναι (9.), πραΰ-νας τὴν ὀργὴν τῆς θεοῦ, τὸ θηρίον ἐκομί-σεν ἐμ-πνοῦν εἰς Μυκήνας.

Νιόβη ἡ Ταντάλου, ἣν ἔγημ-ε Ἀμφίων πολλοὺς μὲν εἶχε υἱούς, πολλὰς δὲ θυγατέρας.

(1.) ἐνεγκεῖν est employé comme Aor. sec. de φέρω. (2.) ἀνελεῖν employé comme Aor. sec. de ἀναιρέω. (3.) Aor. pr. de τιτρώσκω. (4.) κἀκεῖθεν pour καὶ ἐκεῖθεν. (5.) ἔλαφον sousentendu. (6) Aor. sec. de συλλαμβάνω. (7) Ici encore il faudroit le moyen θέμενος. (8.) Aor. sec. part. de εἰδέω employé comme Aor. sec. de ὁράω. (9.) infin. 2. parfait de γίνομαι.

"Ωστε καθ-ύβριζ-ε τὴν Λητὼ τὴν τὰ δύο μόνον ἔχουσαν τέκνα, 'Απόλλωνα καὶ "Αρτεμιν. Λητὼ δὲ ἀγανακτ-ήσασα κατ' αὐτῶν παρ-ώξυν-ε τοὺς παῖδας. Καὶ τὰς μὲν θηλείας ἐπὶ τῆς οἰκίας κατ-ε-τόξευ-σεν "Αρτεμις· τοὺς δὲ ἄῤῥενας κοινῇ πάντας ἐν Κιθαιρῶνι 'Απόλλων κυνηγετοῦντας ἀπ-έ-κτειν-εν. Αὐτὴ δὲ Νιόβη Θήβας ἀπο-λιπ-οῦσα πρὸς τὸν πατέρα ἧκεν εἰς Σίπυλον· κἀκεῖ τὴν μορφὴν εἰς λίθον μετ-έ-βαλ-ε.

Παῖδα εἶχον 'Αρισταῖος καὶ Αὐτονόη, 'Ακταίονα, ὃν ἔτρεφε Χείρων καὶ τὴν κυνηγίαν ἐ-δίδαξε. Τοῦτον δὲ οἱ ἴδιοι κύνες ἐν τῷ Κιθαιρῶνι κατ-έ-φαγον. Καὶ κατὰ τοῦτον ἐτελεύτησε τὸν τρόπον, ὡς οἱ πολλοὶ λέγουσιν, ὅτι τὴν "Αρτεμιν ψυχρολουτήσασαν εἶδε (1.). 'Η γὰρ θεὸς παραχρῆμα αὐτοῦ τὴν μορφὴν εἰς ἔλαφον ἤλλαξε, καὶ τοῖς σὺν αὐτῷ πεντήκοντα κυσὶν ἐνέβαλε λύσσαν. 'Αγνοοῦντες δὲ κατέφαγον τὸν δεσπότην. Οἱ κύνες δὲ ἐπιζητοῦντες τὸν δεσπότην ἐπανῆλθον ἐπὶ τοῦ Χείρωνος ἄντρον· ὃς εἴδωλον κατεσκεύασεν 'Ακταίονος, ὃ καὶ τὴν λύπην αὐτῶν ἔπαυσε.

Καλλιστὼ, ἡ θυγάτηρ, ὥς τινες λέγουσι Λυκάονος, σύνθηρος 'Αρτέμιδος, τὴν αὐτὴν ἐκεί-

(1.) De εἴδω ; s'emploie comme aor. sec. de ὁράω.

νη (1.) στολὴν φοροῦσα, ὤμοσε (2.) μεῖναι παρθένον. Μὴ μείνασαν δὲ, ἀλλὰ παραβᾶσαν (3) τοὺς ὅρκους, κατετόξευσεν ἡ Ἄρτεμις.

Καὶ ἄλλο ἔργον τῆς Ἀρτέμιδος εἰπεῖν ἐθέλω. Περὶ Μελεάγρου, ὃν λέγουσί τινες υἱὸν Οἰνέως καὶ Ἀλθαίας, τινὲς δὲ Ἄρεος, οὕτως ἐθεσπιῴδησαν αἱ Μοῖραι· "Τότε τελευτήσει Μελέαγρος, ὅταν τὸν ἡμίκαυστον δαλὸν τὸν ἐπὶ τῆς ἐσχάρας, καύσῃ τὸ πῦρ." Τοῦτο ἀκούσασα, τὸν δαλὸν ἐκ τῆς ἐσχάρας ἀνελοῦσα, κατέθη εἰς λάρνακα.

Μελέαγρος δὲ, ἀνὴρ ἄτρωτος καὶ γενναῖος, κατὰ τόνδε τὸν τρόπον ἐτελεύτησεν. Τῶν ἐτησίων τὰς ἀπαρχὰς Οἰνεὺς θεοῖς πᾶσι θύων μόνῃ Ἀρτέμιδι οὐδὲν ἔθυσε. Μηνίσασα δὲ ἡ θεὸς, κάπρον ἐφῆκεν (4) ἔξοχον μεγέθει τε καὶ ῥώμῃ ὃς τήν τε γῆν ἄσπορον ἐτίθει, καὶ τὰ βοσκήματα καὶ τοὺς ἐντυγχάνοντας διέφθειρε. Ἐπὶ τοῦτον τὸν κάπρον τοὺς ἀρίστους ἐκ τῆς Ἑλλάδος πάντας συνεκάλεσεν, ὑπόσχεσιν (5.) ποιῶν, τῷ κτείναντι τὸν θῆρα τὴν δορὰν δώσειν (6.) ἀρι-

(1.) Terme de αὐτήν; le même qu'elle, semblable à elle.
(2.) De ὄμνυμι. (3.) Aor. sec. part. de παράβημι, παραβαίνω
(4.) ἐφίημι.
(5.) Les Grecs préfèrent le moyen dans ce cas.
(6.) Verbe objet de narration, dont le sujet ἑαυτὸν est sous-entendu, parcequ'il est le même, que le sujet du verbe principal.

στεῖον. Ἐπὶ δὲ τὴν τοῦ κάπρου θήραν συνῆλθον οἵδε· Μελέαγρος Οἰνέως, Δρύας Ἄρεος, ἐκ Καλυδῶνος οὗτοι. Ἴδας καὶ Λυγκεὺς, Ἀφαρέως, ἐκ Μεσσήνης· Κάστωρ καὶ Πολυδεύκης, Διός καὶ Λήδας, ἐκ Λακεδαίμονος· Θησεὺς, Αἰγέως, ἐξ Ἀθηνῶν· Ἄδμητος, Φέρητος, ἐκ Φερῶν· Ἀγκαῖος καὶ Κηφεὺς, Λυκούργου, ἐξ Ἀρκαδίας· Ἰάσων, Αἴσονος, ἐξ Ἰώλκου· Ἰφικλῆς, Ἀμφιτρύωνος, ἐκ Θηβῶν· Πειρίθοος, Ἰξίονος, ἐκ Λαρίσσης· Πηλεὺς, Αἰακοῦ, ἐκ Φθίας· Τελαμῶν, Αἰακοῦ, ἐκ Σαλαμῖνος· Εὐρυτίων, Ἄκτορος, ἐκ Φθίας· Ἀταλάντη, Σχοινέως, ἐξ Ἀρκαδίας· Ἀμφιάραος, Οἰκλέους, ἐξ Ἄργους· μετὰ τούτων καὶ οἱ Θεστίου παῖδες. Συνελθόντας δὲ αὐτοὺς Οἰνεὺς ἐπὶ ἐννέα ἡμέρας ἐξένισεν· ἅμα δὲ τῇ δεκάτῃ πάντας ἐξάγει Μελέαγρος ἐπὶ τὴν θήραν. Ὁ δὲ θὴρ Ἀγκαῖον διέφθειρεν, Εὐρυτίωνα δὲ Πηλεὺς ἄκων κατηκόντισεν. Τὸν δὲ κάπρον πρώτη μὲν Ἀταλάντη εἰς τὰ νῶτα ἐτόξευσε, δεύτερος δὲ Ἀμφιάραος εἰς τὸν ὀφθαλμόν. Μελέαγρος δὲ αὐτὸν εἰς τὸν κενεῶνα πλήξας ἀπέκτεινε, καὶ λαβὼν τὸ δέρας ἔδωκεν Ἀταλάντῃ. Οἱ δὲ Θεστίου παῖδες, ἀδοξοῦντες εἰ γυνὴ τὰ ἀριστεῖα λήψεται, κατὰ γένος αὐτοῖς προσήκειν τὸ δέρας ἔλεγον, εἰ Μελέαγρος μὴ λαμβάνοι.

'Αγανακτήσας δὲ Μελέαγρος, τοὺς μὲν Θεστίου παῖδας ἀπέκτεινε, τὸ δὲ δέρας ἔδωκε τῇ 'Αταλάντῃ. 'Αλθαία δὲ, ἐπὶ τῇ τῶν ἀδελφῶν ἀπωλείᾳ ἔκδοτον ἑαυτὴν τῇ λύπῃ ποιοῦσα, τὸν δαλὸν ἧψε, καὶ ὁ Μελέαγρος ἐξαίφνης ἀπέθανεν· (οἱ δὲ φασὶν οὐχ οὕτω Μελέαγρον τελευτῆσαι.)

CAP. VIII.

Περὶ 'Αθηνᾶς ἢ Παλλάδος.

'Ιστορίαν δὲ τὴν περὶ τοῦ Παλλαδίου τοιάνδε φέρουσι. Φασὶ ὅτι τὴν 'Αθηνᾶν ἔθρεψε (1.) Τρίτων, ᾧ θυγάτηρ Παλλάς. 'Αμφότεραι δὲ, ἀσκοῦσαι τὰ κατὰ πόλεμον, εἰς φιλονεικίαν ποτὲ προῆλθον. 'Επειδὴ δὲ Παλλὰς ἔμελλε πλήξειν τὴν 'Αθηνᾶν, ὁ Ζεὺς τὴν αἰγίδα προέτεινεν. 'Αναβλέψασα δὲ δέδοικε, καὶ οὕτως 'Αθηνᾶ τιτρώσκει αὐτήν. Περίλυπος δὲ ἐπ' αὐτῇ, ξόανον ἐκείνης ὅμοιον κατασκευάσασα, περιέθηκε τοῖς στέρνοις ἣν ἔδεισεν αἰγίδα. ῎Ιλος δὲ ὁ (2.) Τρῶος, ὁ κτίσας τὸ ῎Ιλιον, τούτου ναὸν κατασκευάσας ἐτίμα. Αἰτήσας γὰρ παρὰ Διὸς σημεῖον, μεθ' ἡμέραν τὸ διϊπετὲς Παλλάδιον πρὸ τῆς σκηνῆς εὗρε. Καὶ περὶ μὲν Παλλαδίου ταῦτα λέγουσι.

(1.) Aor. prem. de τρέφω. (2.) υἱὸς sousentendu.

Κέκρωψ αὐτόχθων, συμφυὲς ἔχων σῶμα ἀνδρὸς καὶ δράκοντος, τῆς Ἀττικῆς ὑπῆρχε πρῶτος βασιλεὺς, καὶ τὴν γῆν ἀφ' ἑαυτοῦ Κεκρωπίαν ὠνόμασε. Κατὰ τούτους τοὺς χρόνους ἔδοξε τοῖς θεοῖς πόλεις καταλαβεῖν (1.) ἐν αἷς ἔμελλον ἔχειν τιμὰς ἰδίας ἕκαστος. Ἧκεν οὖν πρῶτος Ποσειδῶν ἐπὶ τὴν Ἀττικὴν, καὶ πλήξας τῇ τριαίνῃ κατὰ μέσην τὴν ἀκρόπολιν ἀνέφηνε θάλασσαν ἣν νῦν Ἐρεχθηΐδα καλοῦσι. Μετὰ δὲ τοῦτον ἧκεν Ἀθηνᾶ· καὶ ποιήσασα (2.) τῆς καταλήψεως Κέκρωπα μάρτυρα, ἐφύτευσεν ἐλαίαν, ἣν νῦν ἐν τῷ Πανδροσίῳ δεικνῦσι.

Ἐρίζοντας δὲ περὶ τῆς χώρας, Ἀθηνᾶν καὶ Ποσειδῶνα διαλύσας Ζεὺς, κριτὰς ἔδωκεν, οὐχ, ὡς εἶπόν τινες Κέκρωπα καὶ Κραναὸν, οὐδὲ Ἐρεχθέα, θεοὺς δὲ τοὺς δώδεκα. Ἀθηνᾶ δὲ εἷλε τὴν δίκην· Κέκρωψ γὰρ ἐμαρτύρησεν ὅτι πρῶτον τὴν ἐλαίαν ἐφύτευσεν. Ἀθηνᾶ μὲν οὖν ἀφ' ἑαυτῆς τὴν πόλιν ἐκάλεσεν Ἀθήνας.

CAP. IX.

Περὶ Ποσειδῶνος.

Κασσιέπεια, ἡ Κηφέως τοῦ τῶν Αἰθιόπων βασιλέως γυνὴ, Νηρηΐσιν ἤρισε περὶ κάλλους.

(1.) Il auroit fallu ici une verbe moyen.
(2.) Ici encore il faudroit un part. moyen.

"Ὅθεν αἱ Νηρηΐδες ἐμήνισαν, καὶ Ποσειδῶν ὁμοίως βαρέως φέρων τοῦτο τὸ ὕβρισμα, πλημμύραν τε ἐπὶ τὴν χώραν ἔπεμψε καὶ κῆτος." Ἄμμων δὲ ἔχρησε τὴν ἀπαλλαγὴν τῆς συμφορᾶς, ἐὰν ὁ Κηφεὺς τὴν Κασσιεπείας θυγατέρα Ἀνδρομέδαν προθῇ τῷ κήτει βοράν· οἱ δὲ Αἰθίοπες ἠνάγκασαν αὐτὸν τοῦτο ποιεῖν. Καὶ προσέδησε τὴν θυγατέρα πέτρᾳ· Περσεὺς δὲ ἔσωσεν αὐτὴν τὴν μὲν λύσας, τὸ δὲ κῆτος κτείνας.

Μίνως, Κρήτην κατοικῶν, ἔγραψε νόμους. Γήμας δὲ Πασιφάην τὴν Ἡλίου καὶ Περσεΐδος, καὶ βασιλεύειν θέλων, τινὲς αὐτὸν ἐκώλυον. Λέξας δὲ ὅτι παρὰ θεῶν τὴν βασιλείαν εἴληφεν (1.) ἵνα πείσειε, προέτεινεν ὅτι, εἴ τι ἂν αἰτήσῃ, οἱ θεοὶ δωσοῦσιν. Καὶ Ποσειδῶνι θύων, ᾔτησε παρ' αὐτοῦ ταῦρον ἐξάγειν ἐκ τῶν βυθῶν, ὑπόσχεσιν ποιῶν καταθύσειν αὐτόν. Ὁ Ποσειδῶν μὲν οὖν ταῦρον ἀνῆ διαπρεπῆ, τὴν δὲ βασιλείαν παρέλαβεν ὁ Μίνως. Τὸν δὲ ταῦρον εἰς βουκόλια πέμψας, ἔθυσεν ἕτερον· Ἀγανακτήσας δὲ αὐτῷ Ποσειδῶν, ὅτι μὴ κατέθυσε τὸν ταῦρον, τοῦτον ἐξηγρίωσε. Πασιφάην δὲ οὕτως ἐξέπληξεν, ὥστε, ὃν ἔπειτα ἐγέννησεν υἱὸν Ἀστέριον, εἶχε ταύρου πρόσωπον, τὰ δὲ λοιπὰ

(1.) Attiquement pour λέληφε, parf. de λαμβάνω, racine λήβω

ἀνδρός. "Οθεν ἐκάλεσαν αὐτὸν Μινώταυρον. Μίνως δὲ ἐν λαβυρίνθῳ κατά τινας χρησμοὺς κατακλείσας αὐτὸν ἐφύλαττε. Τοῦτον δὲ τὸν λαβύρινθον κατεσκεύασεν Δαίδαλος ἀρχιτέκτων πεφευγὼς ἐξ 'Αθηνῶν ἐπὶ φόνῳ. Λαβύρινθον δὲ καλοῦμεν οἴκημα καμπαῖς πολυπλόκοις πλανῶν τὴν ἔξοδον.

Πηλεῖ τῷ τοῦ 'Αχιλλέως πατρὶ, γήμαντι Θέτιν τὴν Νηρέως ἔδωκε Ποσειδῶν ἀθανάτους ἵππους Βαλίον τε καὶ Ξάνθον.

CAP. X.

Περὶ "Ηρας.

Ζεὺς μὲν τὴν "Ηρας ὀργὴν ἐκκλίνειν θέλων 'Ιὼ τὴν 'Ινάχου ἁψάμενος τῆς κόρης, εἰς βοῦν μεταμόρφωσε λευκήν. "Ηρα δὲ αἰτησαμένη παρὰ Διὸς τὴν βοῦν, φύλακα αὐτῆς κατέστησεν "Αργον τὸν Πανόπτην. Οὗτος ἐκ τῆς ἐλαίας ἐδέσμευεν αὐτὴν ἥτις ἐν τῷ Μυκηναίων ὑπῆρχεν ἄλσει. Ζεὺς δὲ ἐπέταξεν 'Ερμῇ κλέψαι τὴν βοῦν· 'Ιέραξ δὲ ἐμήνυσεν. 'Επειδὴ οὖν λαθεῖν οὐκ ἠδύνατο, λίθῳ βαλὼν ἀπέκτεινε τὸν "Αργον ὅθεν 'Αργειφόντης ἐκλήθη. "Ηρα δὲ τῇ βοῒ οἶστρον ἐμβάλλει. 'Η δὲ πρῶτον ἧκεν εἰς τὸν ἀπ' ἐκείνης 'Ιόνιον κόλπον κληθέντα· ἔπειτα διὰ τῆς 'Ιλλυρίδος πορευθεῖσα καὶ τὸν

Αἷμον ὑπερβαλοῦσα, διέβη τὸν τότε μὲν καλούμενον πόρον Θρᾴκιον, νῦν δὲ ἀπ' ἐκείνης Βόσπορον. Ἐπελθοῦσα δὲ εἰς Σκυθίαν καὶ τὴν Κιμμερίδα γῆν, πολλὴν χέρσον πλανηθεῖσα καὶ πολλὴν διανηξαμένη θάλασσαν Εὐρώπης τε καὶ Ἀσίας, τελευταῖον ἧκεν εἰς Αἴγυπτον· ὅπου τὴν ἀρχαίαν μορφὴν ἀναλαβοῦσα, γεννᾷ παρὰ τῇ Νείλῳ ποταμῷ Ἔπαφον παῖδα. Τοῦτον δὲ Ἥρα κελεύει Κούρητας ἀφανῆ ποιῆσαι· οἱ δὲ ἠφάνισεν αὐτόν. Καὶ Ζεὺς μὲν αἰσθόμενος κτείνει Κούρητας. Ἰὼ δὲ ἐπὶ ζήτησιν τοῦ παιδὸς ἐτράπετο. Πλανωμένη δὲ κατὰ Συρίαν ἅπασαν (ἐκεῖ γὰρ ἐμηνύετο ὡς τοῦ Βυβλίων βασιλέως γυνὴ ἐτιθήνει τὸν υἱὸν), καὶ τὸν Ἔπαφον εὑροῦσα, εἰς Αἴγυπτον ἐπανῆλθεν. Ἱδρύσατο δὲ ἄγαλμα Δήμητρος, ἣν ἐκάλεσαν Ἶσιν Αἰγύπτιοι, καὶ τὴν Ἰὼ Ἶσιν ὁμοίως προσηγόρευσαν.

Ἑρμῆς τὸν νεόγονον Διόνυσον παρὰ Διὸς λαβὼν κομίζει πρὸς Ἰνὼ καὶ Ἀθάμαντα καὶ πείθει τρέφειν. Ἀγανακτήσασα δὲ Ἥρα, μανίαν αὐτοῖς ἐνέβαλε. Καὶ Ἀθάμας μὲν τὸν πρεσβύτερον παῖδα Λέαρχον ὡς ἔλαφον θηρεύσας ἀπέκτεινεν. Ἰνὼ δὲ τὸν Μελικέρτην εἰς πεπυρωμένον λέβητα ῥίψασα, εἶτα βαστάσασα

μετὰ νεκροῦ τοῦ παιδὸς, ἥλατο κατὰ βυθῶν. Καὶ Λευκοθέα μὲν αὐτὴ καλεῖται, Παλαίμων δὲ ὁ παῖς, οὕτως ὀνομασθέντες ὑπὸ τῶν πλεόντων· τοῖς χειμαζομένοις γὰρ βοηθοῦσιν. Ὑπὸ Σισύφου δὲ ἐτέθη ἐπὶ Μελικέρτῃ ἀγὼν τῶν Ἰσθμίων.

Μετὰ τὴν Ἀμφίονος τελευτὴν, Λάϊος τὴν τῶν Θηβῶν βασιλείαν παρέλαβε. Καὶ ἔγημε θυγατέρα Μενοικέως, ἣν ἔνιοι μὲν Ἰοκάστην, ἔνιοι δὲ Ἐπικάστην λέγουσιν. Ἐπειδὴ δὲ ὁ θεὸς ἔχρησε τὸν γεννηθέντα (1.) πατροκτόνον ἔσεσθαι, τὸ γεννηθὲν ἐκθεῖναι (2.) δίδωσι νομεῖ, περόναις διατρήσας τὰ σφυρά. Ἀλλ' οὗτος μὲν ἐξέθηκεν εἰς Κιθαιρῶνα. Πολύβου δὲ βουκόλοι τοῦ Κορινθίων βασιλέως τὸ βρέφος εὑρόντες, πρὸς τὴν αὐτοῦ γυναῖκα Περίβοιαν ἤνεγκαν (3.) Ἡ δὲ ἀνελοῦσα ὑποβάλλεται, καὶ θεραπεύσασα τὰ σφυρὰ, Οἰδίπουν καλεῖ· τοῦτο θεμένη τὸ ὄνομα διὰ τὴν τῶν πόδων ἀνοίδησιν. Τελειωθεὶς δὲ ὁ παῖς, καὶ ὑπερβάλλων τοὺς

(1.) *τὸν γεννηθέντα ἔσεσθαι* : d'après la phrase objet de narration comme en Latin.

(2.) Le donne à un berger, pour l'exposer. En Grec l'infinitif remplace le supin Latin : le gerondif, et souvent le participe en *dus*. (3.) Aor. prém. d'*ἐνέγκω*, il sert d'aoriste à *φέρω*.

ἡλικιώτας ἐν ῥώμῃ, διὰ φθόνον ὠνειδίζετο Ὑπόβλητος. Ὁ δὲ πυνθανόμενος παρὰ τῆς Περιβοίας, μαθεῖν οὐκ ἐδύνατο. Ἀφικόμενος δὲ εἰς Δελφοὺς περὶ τῶν ἰδίων ἐπυνθάνετο γονέων. Ὁ δὲ θεὸς εἶπεν αὐτῷ εἰς τὴν πατρίδα μὴ πορεύεσθαι· τὸν μὲν γὰρ πατέρα φονεύσειν, τὴν δὲ μητέρα γαμήσειν(2). Τοῦτο ἀκούσας, Κόρινθον μὲν ἀπέλιπεν. Ἐφ' ἅρματος δὲ διὰ τῆς Φωκίδος φερόμενος συντυγχάνει κατά τινα στενὴν ὁδὸν ἐφ' ἅρματος ὀχουμένῳ (3.) Λαΐῳ καὶ Πολυφόντῃ· κῆρυξ δὲ οὗτος ἦν Λαΐου, καὶ κελεύσας τὸν Οἰδίπουν ἐκχωρεῖν δι' ἀπείθειαν καὶ ἀναβολὴν ἔκτεινε τῶν ἵππων τὸν ἕτερον. Ἀγανακτήσας δὲ Οἰδίπους, καὶ Πολυφόντην καὶ Λάϊον ἀπέκτεινε, καὶ παρεγένετο εἰς Θήβας.

Λάϊον μὲν οὖν θάπτει βασιλεὺς Πλαταιέων Δαμασίστρατος. Τὴν δὲ βασιλείαν Κρέων ὁ Μενοικέως παραλαμβάνει. Ἕως δὲ οὗτος ἐβασίλευε, οὐ μικρὰ συμφορὰ κατέσχε Θήβας. Ἔπεμψε γὰρ Ἥρα Σφίγγα. Εἶχε δὲ πρόσωπον μὲν γυναικὸς, στῆθος δὲ καὶ βάσιν καὶ οὐρὰν λέοντος καὶ πτέρυγας ὄρνιθος. Μα-

(2.) Phrases objets de narration.

(3.) Terme de συντυγχάνει. Les verbes signifiant *rencontre* prennent le datif.

θοῦσα δὲ αἴνιγμα παρὰ Μουσῶν ἐπὶ τὸ Φίκειον ὄρος ἐκαθέζετο, καὶ τοῦτο προὔτεινε Θηβαίοις. Ἦν δὲ τὸ αἴνιγμα· Τί ἐστιν, ὁ μίαν ἔχον φωνὴν, τετράπουν καὶ δίπουν καὶ τρίπουν γίνεται; ἐχρήσθη δὲ Θηβαίοις, τηνικαῦτα ἀπαλλαγήσεσθαι ἀπὸ τῆς Σφιγγὸς, ἡνίκα ἂν τὸ αἴνιγμα λύσωσι. Καὶ συνιόντες εἰς αὐτὸ πολλάκις ἐπεὶ μὴ εὕρισκον, ἁρπάσασα ἕνα, κατεβίβρωσκεν. Ἐπειδὴ δὲ πολλοὶ ἀπώλοντο (1.) καὶ τὸ τελευταῖον Αἵμων ὁ Κρέοντος, κηρύσσει Κρέων τῷ τὸ αἴνιγμα λύσοντι καὶ τὴν βασιλείαν καὶ τὴν Λαΐου δώσειν (2.) γυναῖκα. Οἰδίπους δὲ ἀκούσας ἔλυσεν εἰπὼν τὸ αἴνιγμα, τὸ ὑπὸ τῆς Σφιγγὸς λεγόμενον, Ἄνθρωπον εἶναι· γεννᾶσθαι (3.) γὰρ τετράπουν βρέφος τοῖς τέτταρσιν ὀχούμενον κώλοις· τελειούμενον δὲ τὸν ἄνθρωπον δίπουν· γηρῶντα δὲ τρίτην προσλαμβάνειν βάσιν τὸ βάκτρον. Ἡ μὲν οὖν Σφίγξ ἀπὸ τῆς ἀκροπόλεως ἑαυτὴν ἔρριψεν· Οἰδίπους δὲ καὶ τὴν βασιλείαν παρέλαβε, καὶ τὴν μητέρα ἔγημεν ἀγνοῶν. Ἐπειδὴ δ' ἐφάνη ὕστερον τὰ λανθάνοντα, Ἰοκάστη μὲν ἐξ ἀγχόνης ἑαυ-

(1.) Aor. sec. moyen d'ἀπόλλυμι.

(2.) Phrase-objet de narration, dont le sujet ἑαυτὸν est sousentendu.

(3.) Phrase-objet : εἶπε sousentendu.

την ἀνήρτησεν· Οἰδίπους δὲ τὰς ὄψεις τυφλώσας ἐκ Θηβῶν ἠλαύνετο, ἀρὰς τοῖς παισὶ θέμενος, οἳ ἐκ τῆς πόλεως αὐτὸν ἐκβαλλόμενον θεωροῦντες οὐκ ἐπήμυναν. Παραγενόμενος δὲ σὺν Ἀντιγόνῃ τῇ ἑαυτοῦ θυγατρὶ, τῆς Ἀττικῆς εἰς Κολωνὸν ἔνθα τὸ τῶν Εὐμενίδων ἐστὶ τέμενος, καθίζει ἱκέτης, προσδεχθεὶς ὑπὸ Θησέως καὶ μετ' οὐ πολὺν χρόνον ἀπέθανεν.

CAP. XI.

Περὶ Δήμητρος.

Πλούτων Περσεφόνην, τὴν Δήμητρος ἥρπασεν κρύφα. Δημήτηρ δὲ μετὰ λαμπάδων (διὰ) νυκτός τε καὶ ἡμέρας κατὰ πᾶσαν τὴν γῆν ζητοῦσα περιῄει. Μαθοῦσα δὲ παρ' Ἑρμιονέων, ὅτι Πλούτων αὐτὴν ἥρπασεν, ὀργιζομένη θεοῖς ἀπέλιπεν οὐρανόν. Εἰκασθεῖσα δὲ γυναικὶ ἧκεν εἰς Ἐλευσῖνα, καὶ πρῶτον μὲν ἐπὶ τὴν ἀπ' ἐκείνης κληθεῖσαν Ἀγέλαστον ἐκάθισε πετραν, παρὰ τὸ Καλλίχορον φρέαρ καλούμενον. Ἔπειτα πρὸς Κελεὸν ἐλθοῦσα, τὸν βασιλέα τότε Ἐλευσινίων, τὸ αὐτοῦ παίδιον ἔθρεψε παραλαβοῦσα. Βουλομένη δὲ αὐτὸν ἀθανα-

τον ποιῆσαι, (ἀνὰ) τὰς νύκτας εἰς πῦρ κατετίθει τὸ βρέφος, καὶ περιῄρει τὰς θνητὰς σάρκας αὐτοῦ. Ἡ μήτηρ δὲ Μετάνειρα ἰδοῦσα καθ' ἡμέραν παραδόξως αὐξανόμενον τὸν Δημοφῶντα (τοῦτο γὰρ ἦν ὄνομα τῷ παιδὶ), ἐπετήρησε, τί πράξει θεά. Καὶ καταλαβοῦσα εἰς πῦρ ἐγκεκρυμμένον ἀνεβόησε. Διόπερ τὸ μὲν βρέφος ὑπὲρ τοῦ πυρὸς ἀνηλώθη (1.), ἡ θεὰ δὲ αὐτὴν ἐξέφηνε. Τριπτολέμῳ δὲ τῷ πρεσβυτέρῳ τῶν Μετανείρας παίδων, δίφρον κατασκευάσασα πτηνῶν δρακόντων, καὶ πυρὸν ἔδωκεν, ᾧ τὴν ὅλην οἰχουμένην δι' οὐρανοῦ αἰρόμενος κατέσπειρε.

Ζεὺς δὲ Πλούτωνι τὴν Κόρην ἀναπέμψαι ἐκέλευσεν. Ἵνα δὲ μὴ (ἀνὰ) πολὺν χρόνον παρὰ τῇ μητρὶ καταμείνειε, ῥοιᾶς ἔδωκεν αὐτῇ φαγεῖν κόκκον. Ἡ δὲ οὐ προειδομένη τὸ συμβησόμενον, κατηνάλωσεν αὐτόν. Ἐκ τούτου γὰρ ἡ Περσεφόνη καθ' ἕκαστον ἐνιαυτὸν, τὸ μὲν τρίτον μετὰ Πλούτωνος ἠναγκάσθη μένειν, τὸ δὲ λοιπὸν παρὰ τοῖς θεοῖς. Ἀσκαλάφῳ δὲ, τῷ καταμαρτυρήσαντι ὅτι ἔφαγεν ἡ Περσεφόνη τὸν τῆς ῥοιᾶς κόκκον Δημήτηρ

(1.) Aor. prem. pass. de ἀναλίσκω. Jusqu'au tems de Démosthène ce verbe ne prenoit guère l'augment que dans le style de la conversation. Plus bas on trouvera κατηνάλωσεν, avec augment en tête de la prep. ἀνά.

ἐν Ἅιδου (1.) βαρεῖαν ἐπέθηκε πέτραν. Περὶ μὲν οὖν Δήμητρος ταῦτα λέγεται (2.).

CAP. XII.

Περὶ Ἑρμοῦ.

Μαῖα μὲν οὖν ἐν ἄντρῳ τῆς Κυλλήνης Ἑρμῆν τίκτει. Οὗτος ἐν στρωτοῖς ἐπὶ τοῦ λίκνου κείμενος, ἐκδὺς εἰς Πιερίαν παραγίνεται καὶ κλέπτει βόας ἃς ἔνεμεν Ἀπόλλων. Ἵνα δὲ μὴ φωραθείη ὑπὸ τῶν ἰχνῶν ὑποδήματα ποσὶ περιέθηκε, καὶ κομίσας εἰς Πύλον τὰς μὲν λοιπὰς εἰς σπήλαιον ἀπέκρυψε· δύο δὲ καταθύσας τὰς μὲν βύρσας πέτραις καθήλωσε, τῶν δὲ κρεῶν τὰ μὲν κατηνάλωσεν ἑψήσας, τὰ δὲ κατέκαυσε. Καὶ ταχέως εἰς Κυλλήνην ᾤχετο. Καὶ εὑρίσκει πρὸ τοῦ ἄντρου νεμομένην χελώνην. Ταύτην ἐκκαθάρας, εἰς τὸ κύτος χορδὰς ἐκτείνας ἐξ ὧν ἔθυσε βοῶν, καὶ ἐργασάμενος λύραν, εὗρε καὶ πλῆκτρον. Ἀπόλλων δὲ τὰς βόας ζητῶν εἰς Πύλον ἀφικνεῖται, καὶ τοὺς κατοικοῦντας ἀνέκρινεν. Οἱ δὲ ἰδεῖν μὲν παῖδα ἐλαύνοντα ἔφασκον, οὐχ ἔχειν δὲ εἰπεῖν ποῖ ποτε ἠλάθησαν (3.) διὰ τὸ μὴ εὑρεῖν ἴχνος δύνασθαι. Μα-

(1.) οἴκῳ soussentendu. ἐν οἴκῳ ᾅδου:
(2.) Le neutre pluriel prend le verbe au singulier.
(3.) Aor. prem: pass. d'ἐλαύνω, primitif ἐλάω.

θὼν δὲ ἐκ τῆς μαντικῆς τὸν κεκλοφότα, πρὸς Μαῖαν εἰς Κυλλήνην παραγίνεται, καὶ τὸν Ἑρμῆν ᾐτιᾶτο. Ἡ δὲ ἐπέδειξεν αὐτὸν ἐν τοῖς σπαργάνοις. Ἀπόλλων δὲ αὐτὸν πρὸς Δία κομίσας, τὰς βόας ἀπῄτει. Ζεὺς μὲν οὖν ἐκέλευσεν ἀποδοῦναι, ἠρνεῖτο δὲ Ἑρμῆς. Μὴ πείθων δὲ, ἄγει τὸν Ἀπόλλωνα εἰς Πύλον, καὶ τὰς βόας ἀποδίδωσιν. Ἀκούσας δὲ τὸν τῆς λύρας ἦχον ὁ Ἀπόλλων ἀντιδίδωσι τὰς βόας. Ἑρμῆς δὲ ταύτας νέμων, σύριγγα πάλιν πηξάμενος ἐσύριζεν. Ἀπόλλων δὲ καὶ ταύτην βουλόμενος λαβεῖν, τὴν χρυσῆν ῥάβδον ἐδίδου, ἣν ἐκέκτητο βουκολῶν. Ὁ δὲ καὶ ταύτην λαβεῖν ἀντὶ τῆς σύριγγος ἤθελε, καὶ τὴν μαντικὴν ἐπελθεῖν· καὶ δοὺς, διδάσκεται τὴν διὰ τῶν ψήφων μαντικήν. Ζεὺς δὲ αὐτὸν κήρυκα ἑαυτοῦ καὶ θεῶν ὑποχθονίων τίθησι.

Περσεὺς υἱὸς ἦν Διὸς καὶ Δανάης τῆς Ἀκρισίου. Τοῦτον νεόγονον μετὰ τῆς Δανάης εἰς λάρνακα βαλὼν ὁ Ἀκρίσιος ἔῤῥιψεν εἰς θάλασσαν. Προσηνέχθη (1.) δὲ ἡ λάρναξ Σερίφῳ, καὶ Δίκτυς ὁ τοῦ τῆς Σερίφου βασιλέως ἀδελφὸς ἄρας ἀνέτρεφεν αὐτόν. Πολυδέκτης οὖν (τοῦτο γὰρ ἦν ὄνομα τῷ βασιλεῖ) ἐπέ-

(1.) Aor. prem. pass. d'ἐνέγκω, sert d'aoriste à προσφέρω.

ταξε Περσεῖ ἤδη ἠνδρωμένῳ τῆς Γοργόνος κομίζειν τὴν κεφαλήν. Ὁ δὲ, ἡγεμόνας λαβὼν τῆς ὁδοῦ Ἑρμῆν καὶ Ἀθηνᾶν, ἐπὶ τὰς Φόρκου γίνεται θυγατέρας, Ἐνυὼ, Πεφρηδὼ, καὶ Δεινώ· ἦσαν δὲ αὗται Κητοῦς καὶ Φόρκου Γοργόνων ἀδελφαὶ, γραῖαι ἐκ γενετῆς. Ἕνα τε ὀφθαλμὸν αἱ τρεῖς καὶ ἕνα ὀδόντα εἶχον, καὶ ταῦτα παρὰ μέρος ἤμειβον ἀλλήλαις.

Ταῦτα καταλαβὼν ὁ Περσεὺς ὡς ἀπῄνουν (1.), ἔφη δώσειν, ἂν ὑφηγήσωνται τὴν ὁδὸν τὴν ἐπὶ τὰς Νύμφας φέρουσαν. Αὗται δὲ Νύμφαι πτηνὰ εἶχον πέδιλα, καὶ τὴν κίβισιν, ἥν φασιν εἶναι πήραν· εἶχον δὲ καὶ τὴν κυνῆν. Ὑφηγήσαντο δὲ αἱ Φορκίδες· ἀποδοὺς δὲ τόν τε ὀδόντα καὶ τὸν ὀφθαλμὸν αὐταῖς, καὶ παραγενόμενος πρὸς τὰς Νύμφας, καὶ τυχὼν ἃ ἐσπούδαζε, τὴν μὲν κίβισιν περιεβάλετο, τὰ δὲ πέδιλα τοῖς σφυροῖς προσήρμοσε, τὴν δὲ κυνῆν τῇ κεφαλῇ ἐπέθετο. Ταύτην μὲν ἔχων, αὐτὸς μὲν οὓς ἤθελεν ἔβλεπεν, ὑπὸ ἄλλων δὲ οὐχ ἑωρᾶτο. Λαβὼν δὲ καὶ παρὰ Ἑρμοῦ ἀδαμαντίνην ἅρπην, πετόμενος εἰς τὸν Ὠκεανὸν ἧκε, καὶ κατέλαβε τὰς Γοργόνας κοιμωμένας. Ἦσαν δὲ αὗται Σθενὼ

(1.) Imparf. d'ἀπαινέω. Se chagriner violemment ἀπὸ αἰνός.

Εὐρυάλη, Μέδουσα. Μόνη δὲ ἦν θνητὴ Μέδουσα· διὰ τοῦτο ἐπὶ τὴν ταύτης κεφαλὴν ἐπέμφθη Περσεύς. Εἶχον δὲ αἱ Γοργόνες κεφαλὰς μὲν περιεσπειραμένας φολίσι δρακόντων, ὀδόντας δὲ μεγάλους, ὡς συῶν, καὶ χεῖρας χαλκᾶς, καὶ πτέρυγας χρυσᾶς δι' ὧν ἐπέτοντο. Τοὺς δὲ ἰδόντας λίθους ἐποίουν. Ἐπιστὰς οὖν αὐταῖς ὁ Περσεὺς κοιμωμέναις, ἀπεστραμμένος καὶ βλέπων εἰς ἀσπίδα χαλκῆν, δι' ἧς τὴν εἰκόνα τῆς Γοργόνος ἔβλεπεν, ἐκαρατόμησεν αὐτήν. Ἐξέθορε δὲ ἐκ τῆς Γοργόνος Πήγασος, πτηνὸς ἵππος. Ὁ μὲν οὖν Περσεύς, ἐνθέμενος εἰς τὴν κίβισιν τὴν κεφαλὴν τῆς Μεδούσης, ὀπίσω πάλιν ἐχώρει. Αἱ δὲ Γοργόνες ἐκ τῆς κοίτης ἀναστᾶσαι τὸν Περσέα ἐδίωκον, καὶ συνιδεῖν αὐτὸν οὐκ ἐδύναντο διὰ τὴν κυνῆν· ἀπεκρύπτετο γὰρ ὑπ' αὐτῆς.

Παραγενόμενος δὲ εἰς Σέριφον καὶ καταλαβὼν προσπεφευγυῖαν τοῖς βωμοῖς μετὰ τοῦ Δίκτυος τὴν μητέρα διὰ τὴν Πολυδέκτου βίαν, εἰσελθὼν εἰς τὸν βασιλέα, τῷ Πολυδέκτῃ καὶ τοῖς αὐτοῦ φίλοις ἀπεστραμμένος τὴν κεφαλὴν Γοργόνος ἔδειξεν. Οὗτοι δέ, ἰδόντες ὁποῖον ἕκαστος ἔτυχε σχῆμα ἔχων, ἀπελιθώθησαν. Καταστήσας δὲ τῆς Σερίφου Δίκτυν βασιλέα, ἀπέδωκε τὰ μὲν πέδιλα καὶ τὴν κί-

βισιν καὶ τὴν κυνῆν Ἑρμῇ, τὴν δὲ κεφαλὴν τῆς Γοργόνος Ἀθηνᾷ. Ἑρμῆς μὲν οὖν τὰ προειρημένα πάλιν ἀπέδωκε ταῖς Νύμφαις· Ἀθηνᾶ δὲ ἐν μέσῃ τῇ ἀσπίδι τῆς Γοργόνος τὴν κεφαλὴν ἀνέθηκε. Λέγεται δὲ καὶ ὑπ' ἐνίων, ὅτι δι' Ἀθηνᾶς ἡ Μέδουσα ἐκαρατομήθη. Φασὶ δὲ, ὅτι καὶ περὶ κάλλους ἠθέλησεν ἡ Γοργὼ αὐτῇ συγκριθῆναι.

CAP. XIII.

Περὶ Διονύσου.

Διόνυσος εὑρετὴς ἀμπέλου γενόμενος, περιπλανᾶται Αἴγυπτόν τε καὶ Συρίαν. Καὶ πρῶτον μὲν Πρωτεὺς αὐτὸν ὑποδέχεται βασιλεὺς Αἰγυπτίων. Αὖθις δὲ εἰς Κύβελα τῆς Φρυγίας ἀφικνεῖται· κἀκεῖ καθαρθεὶς ὑπὸ Ῥέας, καὶ τὰς τελετὰς ἐκμαθὼν, καὶ λαβὼν παρ' ἐκείνης τὴν στολὴν, ἐπὶ Ἰνδοὺς διὰ τῆς Θρᾴκης ἠπείγετο·

Λυκοῦργος δὲ, παῖς Δρύαντος, Ἠδωνῶν βασιλεὺς, οἳ Στρυμόνα ποταμὸν παροικοῦσι, ὑβρίσας ἐξέβαλεν αὐτόν. Καὶ Διόνυσος μὲν εἰς θάλασσαν πρὸς Θέτιν τὴν Νηρέως κατέφυγε. Βάκχαι δὲ ἐγένοντο αἰχμάλωτοι καὶ τὸ συνεπόμενον Σατύρων πλῆθος. Αὖθις δὲ αἱ

Βάκχαι ἐλύθησαν ἐξαίφνης. Λυκούργῳ δὲ μανίαν ἐποίησε Διόνυσος. Ὁ δὲ μεμηνὼς Δρύαντα τὸν παῖδα, ἀμπέλου νομίζων κλῆμα κόπτειν, πελέκει πλήξας, ἀπέκτεινε, καὶ ἀκρωτηριάσας αὐτὸν, ἐσωφρόνησε. Τὴν δὲ γῆν ἄκαρπον μένουσαν, ἔχρησεν ὁ Θεὸς "Καρποφορήσειν, ἂν θανατωθῇ Λυκοῦργος." Ἠδωνοὶ δὲ ἀκούσαντες, εἰς τὸ Παγγαῖον αὐτὸν ἀπαγαγόντες ὄρος, ἔδησαν, κἀκεῖ κατὰ Διονύσου βούλησιν ὑπὸ ἵππων διαφθαρεὶς ἀπέθανε.

Διελθὼν δὲ Θρᾴκην, καὶ τὴν Ἰνδικὴν ἅπασαν, στήλας ἐκεῖ στήσας, ἧκεν εἰς Θήβας καὶ τὰς γυναῖκας ἠνάγκασε καταλιπούσας τὰς οἰκίας βακχεύειν ἐν τῷ Κιθαιρῶνι. Πενθεὺς δὲ, ὁ Ἐχίονος καὶ Ἀγαυῆς, παρὰ Κάδμου εἰληφὼς τὴν βασιλείαν, διεκώλυε ταῦτα γίνεσθαι. Καὶ παραγενόμενος εἰς Κιθαιρῶνα, ὑπὸ τῆς μητρὸς Ἀγαυῆς κατὰ μανίας ἐμελείσθη (1.). Ἐνόμισε γὰρ αὐτὸν θηρίον εἶναι. Δείξας δὲ Θηβαίοις ὅτι θεός ἐστιν, ἧκεν εἰς Ἄργος· κἀκεῖ πάλιν, ὅτι οὐκ ἐτίμων αὐτὸν, ἐξέμηνε τὰς γυναῖκας. Αἱ δὲ ἐν

(1.) Aor. prem. pass. de μελεΐζω, couper membre par membre.

τοῖς ὄρεσι τοὺς ἐπιμαστιδίους ἔχουσαι παῖδας, τὰς σάρκας αὐτῶν ἐσιτοῦντο.

Βουλόμενος δὲ ἀπὸ τῆς Ἰκαρίας εἰς Νάξον διακομισθῆναι Τυῤῥηνῶν λῃστρικὴν ἐμισθώσατο τριήρη. Οἱ δὲ, αὐτὸν ἐνθέμενοι, Νάξον μὲν παρέπλεον ἠπείγοντο δὲ εἰς Ἀσίαν ἀπεμπωλήσοντες. Ὁ δὲ τὸν μὲν ἱστὸν καὶ τὰς κώπας ἐποίησεν ὄφεις, τὸ δὲ σκάφος ἔπλησε κισσοῦ καὶ βοῆς αὐλῶν. Οἱ δὲ ἐμμανεῖς γενόμενοι, κατὰ τῆς θαλάττης ἔφυγον, καὶ ἐγένοντο δελφῖνες. Ὡς δὲ μαθόντες αὐτὸν θεὸν ἄνθρωποι ἐτίμων. Ὁ δὲ ἀναγαγὼν ἐξ ᾅδου Σεμέλην τὴν μητέρα, καὶ προσαγορεύσας Θυώνην, μετ' αὐτῆς εἰς οὐρανὸν ἀνῆλθεν.

Τὸν δὲ Διόνυσον ἐλθόντα ποτὲ εἰς τὴν Ἀττικὴν Ἰκάριος ὑπεδέξατο, καὶ λαμβάνει παρ' αὐτοῦ κλῆμα ἀμπέλου. Καὶ τὰ περὶ τὴν οἰνοποιΐαν μανθάνων, καὶ τὰς τοῦ θεοῦ δωρήσασθαι θέλων χάριτας ἀνθρώποις, ἀφικνεῖται πρός τινας ποιμένας, οἳ γευσάμενοι τοῦ ποτοῦ (1.), καὶ χωρὶς ὕδατος, δι' ἡδονὴν ἀφειδῶς ἑλκύσαντες, πεφαρμάχθαι νομίζοντες, ἀπέκτειναν αὐτόν. Μεθ' ἡμέραν δὲ νοήσαντες, ἔθαψαν αὐτόν. Ἠριγόνῃ δὲ τῇ θυγατρὶ, τὸν

(1.) Les verbes qui expriment l'action des sens, excepte celle de *voir* prennent le genitif.

πατέρα μαστευούσῃ, κύων συνήθης (κατά) ὄνομα Μαῖρα, ἣ τῷ Ἰκαρίῳ συνείπετο, τὸν νεκρὸν ἐμήνυσε· κἀκείνη, καταδυρομένη τὸν πατέρα, ἑαυτὴν ἀνήρτησε.

Εὗρε δὲ Ὀρφεὺς τὰ Διονύσου μυστήρια, καὶ τέθαπται περὶ τὴν Πιερίαν, διασπασθεὶς ὑπὸ τῶν Μαινάδων. Οὗτός ἐστιν ὁ υἱὸς Καλλιόπης καὶ Οἰάγρου, κατ' ἐπίκλησιν δὲ Ἀπόλλωνος, ὁ ἀσκήσας κιθαρῳδίαν, ὃς ᾄδων ἐκίνει λίθους τε καὶ δένδρα. Ἐπειδὴ δὲ Εὐρυδίκη ἡ γυνὴ αὐτοῦ ἀπέθανε, δηχθεῖσα ὑπὸ ὄφεως, κατῆλθεν εἰς Ἅιδου, θέλων ἀγαγεῖν αὐτήν, καὶ Πλούτωνα ἔπεισεν ἀναπέμψαι. Ὁ δὲ ὑπέσχετο (1.) τοῦτο ποιήσειν, ἂν μὴ πορευόμενος Ὀρφεὺς ἐπιστραφῇ, πρὶν εἰς τὴν οἰκίαν αὐτοῦ παραγένοιτο. Ὁ δὲ ἀπιστῶν, ἐπιστραφεὶς ἐθεάσατο τὴν γυναῖκα· ἡ δὲ πάλιν ὑπέστρεψεν.

CAP. XIV.

Γιγαντομαχία.

Ζεὺς συμμάχους ἔχων τοὺς Κύκλωπας παρ' ὧν ἔλαβε βροντὴν καὶ ἀστραπὴν καὶ κεραυνὸν ἐνίκησε τοὺς Τιτᾶνας, τοὺς Κρόνου

(1.) Aor. sec. de ὑπισχνέομαι.

συνεργοὺς, καὶ καθείρξας αὐτοὺς ἐν Ταρτάρῳ τοὺς Ἑκατόγχειρας κατέστησε φύλακας.

Γῆ δὲ περὶ Τιτάνων ἀγανακτοῦσα, γεννᾷ Γίγαντας ἐξ Οὐρανοῦ, μεγέθει μὲν σωμάτων ἀνυπερβλήτους, δυνάμει δὲ ἀκαταγωνίστους, οἳ φοβεροὶ μὲν ταῖς ὄψεσι κατεφαίνοντο, καθειμένοι βαθεῖαν κόμην ἐκ κεφαλῆς καὶ γενείων. Εἶχον δὲ τὰς βάσεις φολίδας δρακόντων. Ἠκόντιζον δὲ εἰς οὐρανὸν πέτρας καὶ δρῦς ἡμμένας. Ὑπερέβησαν δὲ πάντας Πορφυρίων τε καὶ Ἀλκυονεὺς, ὃς δὲ καὶ ἀθάνατος ἦν, ἐν ᾗπερ ἐγεννήθη γῇ μαχόμενος. Οὗτος δὲ καὶ τὰς Ἡλίου βόας ἐξ Εὐρυθείας ἤλασε. Τοῖς δὲ θεοῖς λόγιον ἦν, ὑπὸ θεῶν μὲν μηδένα τῶν Γιγάντων ἀπολέσθαι δύνασθαι, ἐὰν δὲ συμμαχήσῃ θνητός τὶς, τελευτήσειν. Αἰσθομένη δὲ Γῆ τοῦτο ἐζήτει φάρμακον ἵνα μηδ ὑπὸ θνητοῦ δυνηθῶσιν (1.) ἀπολέσθαι. Ζεὺς δὲ ἀπειπὼν φαίνειν Ἠοῖ τε καὶ Σελήνῃ καὶ Ἡλίῳ, τὸ μὲν φάρμακον αὐτὸς ἔταμε φθάσας, Ἡρακλέα δὲ σύμμαχον δι' Ἀθηνᾶς ἐπικαλέσατο. Κἀκεῖνος πρῶτον μὲν ἐτόξευσε

(1.) La narration toute simple demanderoit l'optatif; on rend le style plus animé, en employant les modes, que la personne dont il s'agit a dû employer.

'Αλκυονέα· αὐτὸς δὲ ἐπὶ τῆς γῆς μᾶλλον ἀνεθάλπετο. 'Αθηνᾶ δὲ ἀνείλκυσεν αὐτὸν ἀπὸ τῆς γῆς, κἀκεῖνος μὲν οὕτως ἐτελεύτα. Πορφυρίων δε Ἡράκλεῖ κατὰ μάχην ἐφώρμησεν· Ἡρακλῆς δὲ, ἅμα σὺν τῷ Διὶ κεραυνώσαντι αὐτὸν, τοξεύσας ἀπέκτεινε. Τῶν δὲ λοιπῶν 'Απόλλων μὲν 'Εφιάλτου τὸν ἀριστερὸν ἐτόξευσεν ὀφθαλμὸν, Ἡρακλῆς δὲ τὸν δεξιόν. Εὔρυτον δὲ θυρσῷ Διόνυσος ἔκτεινε. Κλύτιον δὲ, φασὶν, Ἑκάτη, μᾶλλον δὲ Ἥφαιστος βαλὼν μύδροις (1.). 'Αθηνᾶ δὲ 'Εγχελάδῳ φεύγοντι Σικελίαν, ἐπέῤῥιψε τὴν νῆσον (2.). Πάλλαντος δὲ τὴν δορὰν ἐκταμοῦσα, ταύτῃ κατὰ τὴν μάχην τὸ ἴδιον ἐπέσκεπε σῶμα. Πολυβώτης δὲ διὰ τῆς θαλάσσης διωχθεὶς ὑπὸ τοῦ Ποσειδῶνος, ἧκεν εἰς Κῶ· Ποσειδῶν δὲ τῆς νήσου μέρος ἀποῤῥήξας, ἐπέῤῥιψεν αὐτῷ τὸ λεγόμενον Νίσυρον. Ἑρμῆς δὲ τὴν Ἄϊδος κυνέην ἔχων, κατὰ τὴν μάχην τὸν Ἱππόλυτον ἀπέκτεινεν. Ἄρτεμις δὲ Γρατίωνα. Μοῖραι δὲ Ἄγριον καὶ Θόωνα, χαλκέοις ῥοπάλοις μαχομένους· τοὺς δὲ ἄλλους κεραυνοῖς Ζεὺς βα-

(1.) On dit en Grec assaillir quelqu'un à coups de pierres et non jetter des pierres contre quelqu'un. C'est ainsi qu'on dit en Anglois *to pelt a person with stones.*

(2.) Ἐγχελάδῳ, terme du verbe ἐπέῤῥιψεν.

λων διέφθειρε. Πάντας δὲ Ἡρακλῆς ἀπολλυμένους ἐτόξευσεν.

Ὡς δὲ ἐκράτησαν οἱ θεοὶ τῶν Γιγάντων Γῆ, μᾶλλον χολωθεῖσα, γεννᾷ Τυφῶνα ἐν Κιλικίᾳ, μεμιγμένην ἔχοντα φύσιν ἀνδρὸς καὶ θηρίου. Οὗτος μὲν καὶ μεγέθει καὶ δυνάμει πάντας ὑπερέβη ὅσους ἐγέννησε Γῆ. Ἦν δὲ αὐτῷ (1.) τὰ μὲν ἄχρι μηρῶν ἄπλετον μέγεθος ἀνδρόμορφον, ὥστε ἡ κεφαλὴ πολλάκις τῶν ἄστρων ἔψαυε· χεῖρας (2.) δὲ εἶχε, τὴν μὲν ἐπὶ τὴν ἑσπέραν ἐκτεινομένην, τὴν δὲ ἐπὶ τὰς ἀνατολάς. Ἐκ τούτων δὲ ἐξεῖχον ἑκατὸν κεφαλαὶ δρακόντων· τὰ δὲ ἀπὸ μηρῶν σπείρας εἶχεν ὑπερμεγέθεις ἐχιδνῶν, ὧν ὁλκοὶ, πρὸς αὐτὴν ἐκτεινόμενοι κορυφὴν, συριγμὸν πολὺν ἐξίεσαν. Πᾶν δὲ αὐτοῦ τὸ σῶμα κατεπτέρωτο· αὐχμηραὶ δὲ ἐκ κεφαλῆς καὶ γενείων τρίχες ἐξηνεμοῦντο· πῦρ δὲ ἐδέρκετο τοῖς ὄμμασι. Τοιοῦτος ὢν ὁ Τυφῶν καὶ τηλικοῦτος, ἡμμένας (3.) βάλλων πέτρας ἐπ'

(1.) εἶναι dans le sens d'*avoir* se construit comme en Latin. τὰ μὲν, τὰ δὲ, d'une part—d'autre part. ὁ μὲν, ὁ δὲ, l'nn, l'autre.

(2.) Les Grecs employent χεὶρ pour le bras tout entier, quand il n'y a pas de nécessité absolue de distinguer le bras de la main.

(3.) Parf. pass. d'ἅπτω, toucher, enflammer.

αὐτὸν τὸν οὐρανὸν, μετὰ συριγμῶν ὁμοῦ καὶ βοῆς ἐφέρετο· πολλὴ δ' ἐκ τοῦ στόματος πυρὸς ἐξέβρασε ζάλη. Θεοὶ δὲ ὡς εἶδον αὐτὸν ἐπ' οὐρανὸν ὁρμώμενον, εἰς Αἴγυπτον φυγάδες ἐφέροντο, καὶ διωκόμενοι τὰς ἰδέας μετέβαλον εἰς ζῶα. Ζεὺς δὲ πόῤῥω μὲν ὄντα Τυφῶνα ἔβαλε κεραυνοῖς. Πλησίον δὲ γενόμενον ἀδαμαντίνῃ κατέπτησσεν ἅρπῃ, καὶ φεύγοντα ἄχρι τοῦ Κασίου ὄρους συνεδίωξε. Κεῖθι δὲ κατατετρωμμένον ἰδὼν, εἰς χεῖρας συνέβαλεν. Τυφῶν δὲ ταῖς σπείραις περιπλεχθεὶς(1.), κατέσχεν αὐτὸν, καὶ τὴν ἅρπην περιελόμενος, τά τε τῶν χειρῶν καὶ τῶν ποδῶν διέτεμε νεῦρα. Ἀράμενος δὲ ἐπὶ τῶν ὤμων, διεκόμισεν αὐτὸν διὰ τῆς θαλάσσης εἰς Κιλικίαν· καὶ παρελθὼν εἰς τὸ Κωρύκιον ἄντρον, κατέθετο. Ὁμοίως δὲ καὶ τὰ νεῦρα κρύψας ἄρκτου δορᾷ κεῖθι ἀπέθετο. Ἑρμῆς δὲ καὶ Αἰγίπαν ἐκκλέψαντες τὰ νεῦρα, ἥρμοσαν τῷ Διΐ. Ζεὺς δὲ τὴν ἰδίαν ἀνακομισάμενος ἰσχὺν, ἐξαίφνης ἐξ οὐρανοῦ βάλλων κεραυνοῖς, ἐπ' ὄρος ἐδίωξε Τυφῶνα τὸ λεγόμενον Νῦσαν· ἐπιδιωκόμενος

(1.) Aor. prem. pass. avec le sens du moyen, se *plier autour* embrasser.

δὲ αὖθις ὁ Τυφῶν, ἧκεν εἰς Θρᾴκην, καὶ μαχόμενος περὶ τὸν Αἷμον, ὅλα ἔβαλεν ὄρη. Τούτων δὲ ἐπ' αὐτὸν ὑπὸ τοῦ κεραυνοῦ πάλιν ὠθουμένων (1.) πολὺ ἐπὶ τοῦ ὄρους ἐξέκλυσεν αἷμα· καὶ φασὶν ἐκ τούτου τὸ ὄρος κληθῆναι Αἷμον. Φεύγειν δὲ ὁρμηθέντι αὐτῷ διὰ τῆς Σικελικῆς θαλάσσης, Ζεὺς ἐπέρριψεν Αἴτνην ὄρος ἐν Σικελίᾳ. Τοῦτο δὲ ὑπερμέγεθές ἐστιν· ἐξ οὗ μέχρι δεῦρο φασὶν ἀπὸ τῶν βληθέντων κεραυνῶν γίνεσθαι πυρὸς ἀναφυσήματα. Ἀλλὰ περὶ μὲν τούτων μέχρι τοῦ δεῦρο ἡμῖν λελέχθω.

CAP. XV.

Περὶ Προμηθέως, Κατακλυσμοῦ καὶ Ἑλλήνων

Προμηθεὺς δὲ, ὁ Ἰαπετοῦ Τιτᾶνος υἱὸς, ἐξ ὕδατος καὶ γῆς ἀνθρώπους πλάσας ἔδωκεν αὐτοῖς καὶ πῦρ, λάθρα Διὸς ἐν νάρθηκι κρύψας· ὡς δὲ ᾔσθετο Ζεὺς, ἐπέταξεν Ἡφαίστῳ τῷ Καυκάσῳ ὄρει τὸ σῶμα αὐτοῦ προσηλῶσαι· (τοῦτο δὲ Σκυθικὸν ὄρος ἐστίν). Ἐν δὲ τούτῳ προσηλωθεὶς Προμηθεὺς πολλῶν ἐτῶν ἀριθμὸν

(1.) Phrase-circonstance, où les Grecs se servent du génitif.

ἐδέδετο· καθ' ἑκάστην δὲ ἡμέραν ἀετὸς ἐφιπτάμενος αὐτοῦ τοὺς λοβοὺς ἐνέμετο τῶν ἡπάτων αὐξανομένων διὰ νυκτός. Καὶ Προμηθεὺς μὲν πυρὸς κλαπέντος δίκην ἔτινε ταύτην μέχρις Ἡρακλῆς αὐτὸν ὕστερον ἔλυσε.

Προμηθέως δὲ παῖς Δευκαλίων ἐγένετο· Οὗτος βασιλεύων (1) τῶν περὶ τὴν Φθίαν τόπων, γαμεῖ Πύῤῥαν τὴν Ἐπιμηθέως καὶ Πανδώρας, ἣν ἔπλασαν θεοὶ πρώτην γυναῖκα. Ἐπεὶ δὲ ἀφανίσαι Ζεὺς τὸ χαλκοῦν γένος ἠθέλησεν, ὑποθεμένου Προμηθέως, Δευκαλίων τεκτηνάμενος λάρνακα, καὶ τὰ ἐπιτήδεια ἐνθέμενος, εἰς ταύτην μετὰ Πύῤῥας εἰσέβη. Ζεὺς δὲ πολὺν ὑετὸν ἀπ' οὐρανοῦ χέας, τὰ πλεῖστα μέρη τῆς Ἑλλάδος κατέκλυσεν, ὥστε διαφθαρῆναι (2.) πάντας ἀνθρώπους, ὀλίγων χωρὶς, οἳ συνέφυγον εἰς τὰ πλησίον ὑψηλὰ ὄρη. Δευκαλίων δὲ, ἐν τῇ λάρνακι διὰ τῆς θαλάσσης φερόμενος ἐφ' ἡμέρας ἐννέα καὶ νύκτας ἴσας, τῷ Παρνασσῷ προσίσχει, κἀκεῖ τῶν ὄμβρων παῦλαν λαβόντων ἐκβὰς θύει Διὶ Φυξίῳ Ζεὺς δὲ πέμψας

(1.) Les verbes qui signifient superiorité être le chef, le premier de &c., prennent le génitif.

(2.) De sorte tout le monde fut detruit: mot à mot, jusqu'à l'être detruit tout le monde. Le sujet de l'infinitif se met à l'accusatif toutes les fois qu'il est différent du sujet principal

Ἑρμῆν πρὸς αὐτὸν, ἐπέτρεψεν αἰτεῖσθαι ὅτι βούλεται. Ὁ δὲ αἰτεῖται ἀνθρώπους αὐτῷ γενέσθαι. Καὶ, Διὸς εἰπόντος, ὑπὲρ κεφαλῆς αἴρων ἔβαλλε τοὺς λίθους· καὶ οὓς μὲν ἔβαλλε Δευκαλίων, ἄνδρες ἐγένοντο, οὓς δὲ Πύῤῥα γυναῖκες. Ὅθεν καὶ λαοὶ μεταφορικῶς ὀνομάσθησαν ἀπὸ τοῦ λᾶας, ὁ λίθος.

Γίνονται δὲ ἐκ Πύῤῥας Δευκαλίωνι παῖδες, Ἕλλην μὲν πρῶτος, ὃν ἐκ Διὸς ἔνιοι γεγενῆσθαι λέγουσι· δεύτερος δὲ Ἀμφικτύων ὁ μετὰ Κραναὸν βασιλεύσας τῆς Ἀττικῆς· θυγάτηρ δὲ Πρωτογένεια, ἐξ ἧς καὶ Διὸς Ἀέθλιος. Ἕλληνος δὲ καὶ Νύμφης Ὀρσηΐδος, Δῶρος, Ξοῦθος, Αἴολος. Αὐτὸς μὲν οὖν ἀφ' αὑτοῦ τοὺς καλουμένους Γραικοὺς προσηγόρευσεν Ἕλληνας· τοῖς δὲ παισὶν ἐμέρισε τὴν χώραν· καὶ Ξοῦθος μὲν λαβὼν τὴν Πελοπόννησον, ἐκ Κρεούσης τῆς Ἐρεχθέως Ἀχαιὸν ἐγέννησε καὶ Ἴωνα, ἀφ' ὧν Ἀχαιοὶ καὶ Ἴωνες καλοῦνται. Δῶρος δὲ τὴν πέραν χώραν Πελοννήσου λαβὼν τοὺς κατοίκους ἀφ' ἑαυτοῦ Δωριεῖς ἐκάλεσεν. Αἴολος δὲ βασιλεύων τῶν περὶ τὴν Θεσσαλίαν τόπων, τοὺς ἐνοικοῦντας Αἰολεῖς προσηγόρευσε.

CAP. XVI.

Περὶ Ἡρακλέους.

Ἀλκμήνη ἐγέννησε Διὶ Ἡρακλέα· τοῦ δὲ παιδὸς ὄντος ὀκταμηνιαίου, δύο δράκοντας ὑπερμεγέθεις Ἥρα ἐπὶ τὴν εὐνὴν ἔπεμψε, διαφθαρῆναι τὸ βρέφος θέλουσα. Ἐπιβοωμένης δὲ Ἀλκμήνης Ἀμφιτρύωνα τὸν ἄνδρα, Ἡρακλῆς διαναστὰς ἄγχων ἑκατέραις ταῖς χερσὶν αὐτοὺς διέφθειρεν.

Ἐδιδάχθη μὲν Ἡρακλῆς ἁρματηλατεῖν μὲν ὑπὸ Ἀμφιτρύωνος, παλαίειν δὲ ὑπὸ Αὐτολύκου τοξεύειν δὲ ὑπὸ Εὐρύτου ὁπλομαχεῖν δὲ ὑπὸ Κάστορος, κιθαρῳδεῖν δὲ ὑπὸ Λίνου. Οὗτος δὲ ἦν ἀδελφὸς Ὀρφέως, ἀφικόμενος (1.) δὲ εἰς Θήβας, καὶ Θηβαῖος γενόμενος, ὑπὸ Ἡρακλέους τῇ κιθάρᾳ πληγεὶς ἀπέθανεν. Ἐπιπλήξαντα γὰρ αὐτὸν ὀργισθεὶς ἀπέκτεινε. Δίκην δὲ ἐπαγόντων τινῶν αὐτῷ φόνου, παρανέγνω νόμον Ῥαδαμάνθυος λέγοντος, "ὃς ἂν ἀμύνηται τὸν χειρῶν ἀδίκων ἄρξαντα (2.) ἀθῷον (3.) εἶναι" καὶ οὕτως ἀπελύθη. Δείσας δὲ

(1.) Aor. sec. d'ἀφικνέομαι.

(2.) Celui qui commence une injuste violence:

(3.) Phrase-objet de narration: le sujet πάντα, tout homme, est sousentendu.

Ἀμφιτρύων μὴ πάλιν τι ποιήσῃ τοιοῦτον, ἔπεμψεν αὐτὸν εἰς τὰ βουφόρβια, κἀκεῖ τρεφόμενος μεγέθει τε καὶ ῥώμῃ πάντων διήνεγκεν. Ἦν δὲ καὶ θεωρηθεὶς φοβερὸς, ὅτι παῖς Διὸς ἦν. Τετραπηχυαῖον μὲν γὰρ εἶχε τὸ σῶμα, πυρὸς δὲ ἐξ ὀμμάτων ἔλαμπεν αἴγλην (1.) Οὐκ ἠστόχει δὲ οὔτε τοξεύων, οὔτε ἀκοντίζων.

Ἐν δὲ τοῖς βουκολίοις ὑπάρχων ὀκτοκαιδεκαέτης, τὸν Κιθαιρώνειον ἀνεῖλε λέοντα. Οὗτος ὁρμώμενος ἐκ τοῦ Κιθαιρῶνος τὰς Ἀμφιτρύωνος ἔφθειρε βόας, καὶ τὰς Θεσπίου· βασιλεὺς δὲ ἦν οὗτος Θεσπιῶν. Πρὸς ὃν ἀφίκετο Ἡρακλῆς ἑλεῖν βουλόμενος τὸν λέοντα. Ὁ δὲ αὐτὸν ἐξένισε· Ἡρακλῆς δὲ χειρωσάμενος τὸν λέοντα, τὴν μὲν δορὰν ἠμφιέσατο, τῷ χάσματι δὲ ἐχρήσατο κόρυθι.

Ἀνακάμπτοντι δὲ αὐτῷ ἀπὸ τῆς θήρας συνήντησαν κήρυκες παρὰ Ἐργίνου πεμφθέντες, ἵνα παρὰ Θηβαίων τὸν δασμὸν λάβωσιν (2.) Ἀποταμὼν δὲ Ἡρακλῆς αὐτῶν τὰ ὦτα καὶ

(1.) Phrase-objet de désir: μὴ, parceque qu'on désire que la chose ne se fasse.

(2.) λάβωσιν au lieu de λάβοιεν pour rendre la narration plus vive, en employant les mêmes temps et modes qu'ont dû employer les hérauts.

τὰς ῥῖνας, ἔφη τοῦτον Ἐργίνῳ καὶ Μινύαις δασμὸν κομίζειν. Ἐφ' οἷς ἀγανακτῶν, ἐστράτευσεν ἐπὶ Θήβας. Ἡρακλῆς δὲ, λαβὼν ὅπλα παρ' Ἀθηνᾶς καὶ πολεμαρχῶν, Ἐργῖνον μὲν ἔκτεινε, τοὺς δὲ Μινύας ἐτρέψατο, καὶ τὸν δασμὸν διπλοῦν ἠνάγκασε Θηβαίοις φέρειν. Συνέβη δὲ κατὰ μάχην Ἀμφιτρύωνα γενναίως μαχόμενον τελευτῆσαι. Λαμβάνει δὲ Ἡρακλῆς παρὰ Κρέοντος ἀριστεῖον, τὴν πρεσβυτάτην θυγατέρα Μέγαραν. Ἐξ ἧς αὐτῷ παῖδες ἐγένοντο τρεῖς Θηρίμαχος, Κρεοντιάδης, Δηϊκόων.

Μετὰ δὲ τὴν πρὸς Μινύας αὐτῷ μάχην, συνέβη κατὰ ζῆλον Ἥρας μανῆναι, καὶ τοὺς ἰδίους παῖδας εἰς πῦρ ἐμβαλεῖν. Διὸ φεύγων, καὶ εἰς Δελφοὺς παραγενόμενος πυνθάνεται (παρὰ) τοῦ Θεοῦ, ποῦ κατοικήσει. Ἡ δὲ Πυθία τότε πρῶτον Ἡρακλέα αὐτὸν προσηγόρευσε· τὸ δὲ πρῶτον Ἀλκείδης προσηγορεύετο. Κατοικεῖν δὲ αὐτὸν εἶπεν ἐν Τίρυνθι Εὐρυσθεῖ λατρεύοντα (ἐπὶ) ἔτη δώδεκα, καὶ τοὺς ἐπιτασσομένους ἄθλους δώδεκα ἐπιτελεῖν καὶ οὕτως ἔφη τῶν ἄθλων συντελεσθέντων ἀθάνατον αὐτὸν ἔσεσθαι

CAP. XVII.

Ἡρακλέους Ἆθλοι.

Τοῦτο ἀκούσας ὁ Ἡρακλῆς, εἰς Τίρυνθα ἦλθε. Πρῶτον μὲν οὖν ἐπέταξεν αὐτῷ τοῦ Νεμέου λέοντος τὴν δορὰν κομίζειν. Τοῦτο δὲ ζῶον ἦν ἄτρωτον. Ἀφικόμενος οὖν εἰς τὴν Νεμέαν, καὶ τὸν λέοντα μαστεύσας, ἐτόξευσε πρῶτον· ὡς δὲ ἔμαθεν ἄτρωτον ὄντα (1.) ἀνατεινάμενος τὸ ῥόπαλον ἐδίωκε. Συμφυγόντος δὲ εἰς ἀμφίστομον σπήλαιον αὐτοῦ, τὴν ἑτέραν ἀπῳκοδόμησεν εἴσοδον, διὰ δὲ τῆς ἑτέρας ἐπεισῆλθε τῷ θηρίῳ, καὶ περιθεὶς τὴν χεῖρα τῷ τραχήλῳ, κατέσχεν ἄγχων, ἕως ἔπνιξε· καὶ θέμενος ἐπὶ τῶν ὤμων, ἐκόμιζεν εἰς Μυκήνας.

Δεύτερον δὲ ἆθλον ἐπέταξεν αὐτῷ τὴν Λερναίαν ὕδραν κτεῖναι. Αὕτη ἐν τῷ τῆς Λέρνης ἕλει ἐκτραφεῖσα, ἐξέβαινεν εἰς τὸ πεδίον, καὶ τά τε βοσκήματα καὶ τὴν χώραν διέφθειρεν. Εἶχε δὲ ἡ ὕδρα ὑπερμέγεθες σῶμα, κεφαλὰς ἔχον ἐννέα, τὰς μὲν ὀκτὼ θνητάς, τὴν δὲ μέσην ἀθάνατον. Ἐπιβὰς οὖν ἐπὶ ἅρμα ἡνιο-

(1.) Plusieurs verbes, exige que leur verbe-objet soit rendu par le participe, au lieu de l'infinitif.

χοῦντος Ἰολάου, παρεγένετο εἰς τὴν Λέρνην, καὶ τοὺς μὲν ἵππους ἔστησε, τὴν δὲ ὕδραν εὑρὼν ἔν τινι λόφῳ παρὰ τὰς πηγὰς τῆς Ἀμυμώνης ὅπου ὁ φωλεὸς αὐτῆς ὑπῆρχε, βαλὼν βέλεσι πεπυρωμένοις ἠνάγκασεν ἐξελθεῖν. Ἐκβαίνουσαν δὲ αὐτὴν κρατήσας κατεῖχεν. Ἡ δὲ θατέρῳ τῶν ποδῶν ἐνείχετο περιπλακεῖσα. Τῷ ῥοπάλῳ δὲ τὰς κεφαλὰς κόπτων, οὐδὲν ἀνύειν ἐδύνατο. Μιᾶς γὰρ κοπτομένης κεφαλῆς, δύο ἀνεφύοντο. Ἐπεβοήθει δὲ καρκῖνος τῇ ὕδρᾳ ὑπερμεγέθης, δάκνων τὸν πόδα. Διὸ τοῦτον ἀποκτείνας, ἐπεκαλέσατο καὶ αὐτὸς βοηθὸν τὸν Ἰόλαον, ὃς μέρος τι καταπρήσας τῆς ἐγγὺς ὕλης, τοῖς δαλοῖς ἐπικαίων τὰς ἀνατολὰς τῶν ἀναφυομένων κεφαλῶν ἐκώλυεν ἀνιέναι. Κατὰ τοῦτον τὸν τρόπον τῶν ἀναφυομένων κεφαλῶν περιγενόμενος, τὴν ἀθάνατον ἀποκόψας κατώρυξε, καὶ βαρεῖαν ἐπέθηκε πέτραν, παρὰ τὴν ὁδὸν τὴν φέρουσαν διὰ Λέρνης εἰς Ἐλεοῦντα. Τὸ δὲ σῶμα τῆς ὕδρας ἀνασχίσας τῇ χολῇ τοὺς ὀϊστοὺς ἔβαψεν.

Τρίτον ἆθλον, ἔλαβε τὴν Κερυνῖτιν ἔλαφον, ὡς ἤδη ἱστορήκαμεν ἐν τοῖς περὶ Ἀρτέμιδος.

Τέταρτον ἆθλον ἐπέταξεν αὐτῷ, τὸν Ἐρυμάνθιον κάπρον ζῶντα κομίζειν. Παραγίνεται οὖν ἐπὶ τὴν τοῦ κάπρου θήραν καὶ διώξας αὐτὸν

ἔκ τινος λοχμῆς μετὰ κραυγῆς εἰς χιόνα πολλὴν, παρειμένον ἐμβροχίσας, ἐκόμισεν εἰς Μυκήνας.

Πέμπτον μὲν ἐπέταξεν αὐτῷ ἆθλον, τῶν Αὐγείου βοσκημάτων ἐν ἡμέρᾳ μιᾷ μόνον ἐκφορῆσαι τὴν ὄνθον. Ἦν δὲ Αὐγείας βασιλεὺς Ἤλιδος· πολλὰς δὲ εἶχεν βοσκημάτων ποίμνας. Τούτῳ προσελθὼν Ἡρακλῆς, οὐ δηλώσας τὴν Εὐρυσθέως ἐπιταγὴν, ἔφασκε μιᾷ ἡμέρᾳ τὴν ὄνθον ἐκφορήσειν, εἰ δώσει τὴν δεκάτην αὐτῷ τῶν βοσκημάτων. Αὐγείας δὲ ἀπιστῶν ὑπισχνεῖται. Μαρτυρούμενος δὲ Ἡρακλῆς τὸν Αὐγείου παῖδα Φυλέα, τῆς τε αὐλῆς θεμέλιον διεῖλε, καὶ τὸν Ἀλφειὸν ποταμὸν καὶ τὸν Πηνειὸν, σύνεγγυς ῥέοντας, παροχετεύσας ἐπήγαγεν, ἔκρουν δι' ἄλλης ἐξόδου ποιήσας. Μαθὼν δὲ Αὐγείας ὅτι κατ' ἐπιταγὴν Εὐρυσθέως τοῦτο ἐπιτετέλεσθαι, τὸν μισθὸν οὐκ ἀπεδίδου, προσέτι ἠρνεῖτο καὶ μισθὸν ὑποσχέσθαι δώσειν, καὶ κρίνεσθαι περὶ τούτου ἕτοιμος ἔλεγεν εἶναι (1.). Καθεζομένων δὲ τῶν δικαστῶν,

(1.) Αὐγείας ἔλεγεν αὐτὸς εἶναι ἕτοιμος. Quand le sujet du verbe-objet est le même que le sujet principal, il se met au nominatif, comme les mots qui s'accordent avec lui. Il est plus souvent sousentendu. Nous n'avons pas cru devoir donner cette explication plus tôt. Elle modifie les notes, p.8. p.12.

κληθεὶς ὁ Φυλεὺς ὑπὸ Ἡρακλέους, τοῦ πατρὸς κατεμαρτύρησεν (1.), εἰπὼν, ὁμολογῆσαι μισθὸν δώσειν αὐτῷ. Ὀργισθεὶς δὲ Αὐγέας, τόν τε Φυλέα καὶ τὸν Ἡρακλέα βαδίζειν ἐξ Ἤλιδος ἐκέλευσεν.

Ἕκτον ἐπέταξεν ἆθλον αὐτῷ, τὰς Στυμφαλίδας ὄρνιθας ἐκδιῶξαι. Ἦν δὲ ἐν Στυμφάλῳ πόλει τῆς Ἀρκαδίας, Στυμφαλὶς λεγομένη λίμνη, πολλῇ συνηρεφὴς ὕλῃ. Εἰς ταύτην ὄρνεις συνέφυγον ἄπλετοι. Ἀμηχανοῦντος οὖν Ἡρακλέους, πῶς ἐκ τῆς ὕλης τὰς ὄρνιθας ἐκβάλῃ, χάλκεα κρόταλα δίδωσιν αὐτῷ Ἀθηνᾶ παρὰ Ἡφαίστου λαβοῦσα. Ταῦτα κρούων ἐπί τινος ὄρους, τῇ λίμνῃ παρακειμένου, τὰς ὄρνιθας ἐφόβει· αἱ δὲ τὸν δοῦπον οὐχ ὑπομένουσαι, μετὰ δέους ἀνίπταντο, καὶ τοῦτον τὸν τρόπον Ἡρακλῆς ἐτόξευσεν αὐτάς.

Ἕβδομον ἐπέταξεν ἆθλον αὐτῷ, τὸν Κρῆτα ἀγαγεῖν ταῦρον. Τοῦτον μὲν οὖν, φασὶ, τὸν ὑπὸ Ποσειδῶνος ἀναδοθέντα ἐκ θαλάσσης, ὅτε καταθύσειν Ποσειδῶνι Μίνως εἶπε τὸ φανὲν ἐκ τῆς θαλάσσης. Καί φασι, θεασάμενον αὐτὸν τοῦ ταύρου τὸ κάλλος, τοῦτον μὲν εἰς τὰ βου-

(1.) ἐμαρτύρησε κατὰ τοῦ πατρός.

κόλια ἀποπέμψαι, θῦσαι δὲ ἄλλον Ποσειδῶνι· ἐφ' οἷς ὀργισθέντα τὸν θεὸν ἀγριῶσαι τὸν ταῦρον. Ἐπὶ τοῦτον παραγενόμενος εἰς Κρήτην Ἡρακλῆς, καὶ λαβὼν, Εὐρυσθέα διακομίσας ἔδειξε, καὶ τὸ λοιπὸν εἴασεν ἄνετον.

Ὄγδοον ἆθλον ἐπέταξεν αὐτῷ, τὰς Διομήδους τοῦ Θρᾳκὸς ἵππους εἰς Μυκήνας κομίζειν· εἶχε δὲ ἀνθρωποφάγους ἵππους. Πλεύσας οὖν μετὰ τῶν ἑκουσίως συνεπομένων, βιασάμενος τοὺς ἐπὶ ταῖς φάτναις (1.) τῶν ἵππων ὑπάρχοντας, ἤγαγεν ἐπὶ τὴν θάλασσαν, καὶ κομίσας Εὐρυσθεῖ ἔδωκεν.

Ἔνατον ἆθλον Ἡρακλεῖ ἐπέταξε, ζωστῆρα κομίζειν τὸν Ἱππολύτης. Αὕτη δὲ ἐβασίλευεν Ἀμαζόνων· αἳ κατῴκουν περὶ τὸν Θερμώδοντα ποταμόν. Παραλαβὼν οὖν ἐθελοντὰς συμμάχους ἐν μιᾷ νηῒ ἔπλει, καὶ ἧκεν εἰς τὸν ἐν Θεμισκύρᾳ λιμένα.

Παραγενομένης δὲ ὡς αὐτὸν Ἱππολύτης, καὶ, τίνος ἥκοι χάριν, πυθομένης, καὶ δώσειν τὸν ζωστῆρα ὑπισχνουμένης, Ἥρα μιᾷ τῶν Ἀμαζόνων εἰκασθεῖσα τὸ πλῆθος ἐπεφοίτα

(1.) La chose d'où une charge tire son nom se met au datif avec ἐπί. Souvent aussi au génitif avec ἐπὶ ou ἐξ.

λέγουσα· "τὴν βασιλίδα ἁρπάζουσι οἱ προσελθόντες ξένοι." Αἱ δὲ μεθ' ὅπλων ἐπὶ τὴν ναῦν κατέθεον σὺν ἵπποις. Ὡς δὲ εἶδεν αὐτὰς καθωπλισμένας Ἡρακλῆς, νομίσας ἐκ δόλου τοῦτο γενέσθαι, τὴν μὲν Ἱππολύτην κτείνας, τὸν ζωστῆρα ἀφαιρεῖται· πρὸς δὲ τὰς λοιπὰς ἀγωνισάμενος, ἀποπλεῖ καὶ προσίσχει Τροίᾳ. Ἀποπλέων δὲ, καὶ κομίσας τὸν ζωστῆρα εἰς Μυκήνας, ἔδωκεν Εὐρυσθεῖ.

Δέκατον δὲ ἐτάγη ἆθλον, τὰς Γηρυόνου βόας ἐξ Ἐρυθείας κομίζειν. Εἶχε δὲ Γηρυόνης φοινικᾶς βόας, ὧν ὁ βουκόλος Εὐρυτίων· φύλαξ δὲ Ὄρθρος ὁ κύων δικέφαλος. Παραγενόμενος οὖν ὁ Ἡρακλῆς εἰς Ἐρυθείαν, ἐν ὄρει Ἄβαντι αὐλίζεται. Αἰσθόμενος δὲ ὁ κύων ἐπ' αὐτὸν ὥρμα· ὁ δὲ τοῦτον τῷ ῥοπάλῳ παίει, καὶ τὸν βουκόλον Εὐρυτίωνα ἀπέκτεινε. Μενοίτιος δέ τις Γηρυόνῃ τὸ γεγονὸς ἀπήγγειλεν. Ὁ δὲ καταλαβὼν Ἡρακλέα παρὰ ποταμὸν Ἀνθεμοῦντα τὰς βόας ἀπάγοντα, συστησάμενος μάχην καὶ τοξευθεὶς, ἀπέθανεν. Ἐνθέμενος δὲ τὰς βόας εἰς δέπας (θερμαινόμενος γὰρ ὑπὸ Ἡλίου κατὰ τὴν πορείαν, τὸ τόξον ἐπὶ τὸν Θεὸν ἐνέτεινεν. Ὁ δὲ τὴν ἀνδρείαν αὐτοῦ θαυμάσας, χρύσεον ἔδωκε δέπας, ἐν ᾧ τὸν Ὠκεα-

νὸν διεπέρασε), καὶ διέπλευσε εἰς Ταρτησσόν. Διελθὼν δὲ Ἀβδηρίαν, διὰ Τυῤῥηνίας ᾔει. Ἀπὸ Ῥηγίου δὲ εἷς ἀποῤῥήγνυσι ταῦρος, καὶ διελθὼν τὴν χώραν, τὴν ἀπ' ἐκείνου κληθεῖσαν Ἰταλίαν (Τυῤῥηνοὶ γὰρ Ἰταλὸν τὸν ταῦρον ἐκάλεσαν), ἦλθεν εἰς πεδίον Ἔρυκος. Τούτου δὲ λέγοντος, οὐ δώσειν, εἰ μὴ παλαίσας αὐτοῦ περιγένηται Ἡρακλῆς, τρὶς περιγενόμενος κατὰ τὴν πάλην, ἀπέκτεινε, καὶ τὸν ταῦρον λαβὼν, μετὰ τῶν ἄλλων ἐπὶ τὸν Ἰόνιον ἤλαυνε πόντον καὶ τὰς βόας Εὐρυσθεῖ κομίσας δέδωκεν. Ὁ δὲ αὐτὰς κατέθυσεν Ἥρᾳ.

Ἑνδέκατον ἐπέταξεν ἆθλον παρ' Ἑσπερίδων χρύσεα μῆλα κομίζειν. Πορευόμενος οὖν ἀπέκτεινεν Ἀνταῖόν τε τὸν Λιβύης βασιλέα τὸν τοὺς ξένους ἀναγκάζοντα παλαίειν, καὶ τὸν Αἰγύπτου βασιλέα Βούσιριν, τὸν τοὺς ξένους ἐπὶ βωμῷ Διὸς θύοντα. Διεξιὼν δὲ Ἀσίας, βοηλάτου τινὸς λύσας τὸν ἕτερον τῶν ταύρων ἀπὸ τῆς ἀμάξης, εὐωχεῖτο θύσας. Ὁ δὲ βοηλάτης βοηθεῖν ἑαυτῷ μὴ δυνάμενος, στὰς ἐπί τινος ὄρους κατηρᾶτο. Διὸ καὶ νῦν, ἐπειδὰν θύωσιν Ἡρακλεῖ, μετὰ καταρῶν τοῦτο πράττουσι. Κατετόξευσε δὲ καὶ ἐπὶ τοῦ Καυκάσου τὸν ἐσθίοντα τὸ τοῦ Προμηθέως ἧπαρ αἰετὸν

καὶ τὸν Προμηθέα διέλυσεν. Ὡς δὲ ἧκεν εἰς Ὑπερβορέους πρὸς Ἄτλαντα, ἔπεισεν αὐτὸν διαδεξάμενος τὸν πόλον, ἐπὶ τὰ μῆλα πορεύεσθαι. Ἄτλας δὲ, δρεψάμενος παρ' Ἑσπερίδων (1.) τρία μῆλα, ἧκε πρὸς Ἡρακλέα. Ἔνιοι δέ φασιν, οὐ παρὰ Ἄτλαντος αὐτὰ λαβεῖν ἀλλὰ αὐτὸν δρέψασθαι τὰ μῆλα, κτείναντα τὸν φρουροῦντα ὄφιν. Κομίσας δὲ τὰ μῆλα, Εὐρυσθεῖ ἔδωκε.

Δωδέκατον ἆθλον ἐπετάγη Κέρβερον ἐξ Ἅιδου κομίζειν. Εἶχε δὲ οὗτος τρεῖς μὲν κυνῶν κεφαλὰς, τὴν δὲ οὐρὰν δράκοντος, κατὰ δὲ τοῦ νώτου παντοίων εἶχεν ὄφεων κεφαλάς. Ἦλθεν οὖν πρὸς Εὔμολπον εἰς [illegible]ευσῖνα, καὶ ὑπὸ τούτου ἐμυήθη. Καὶ παραγενόμενος ἐπὶ Ταίναρον τῆς Λακονικῆς, οὗ τῆς Ἅιδου καταβάσεως τὸ στόμιόν ἐστι, διὰ τούτου κατῄει. Εὑρὼν δὲ τὸν Κέρβερον ἐπὶ ταῖς πύλαις τοῦ Ἀχέροντος, τῷ τε θώρακι συμπεφραγμένος καὶ τῇ λεοντῇ συσκεπασθεὶς, καὶ περιβαλὼν τῇ κεφαλῇ τὰς χεῖρας, οὐκ ἀνῆκε καίπερ δακνόμενος ὑπὸ τοῦ κατὰ τὴν οὐρὰν δράκοντος. Κρατῶν

(1.) Elles étaient filles d'Hespère, frère d'Atlas.

ἐκ τοῦ τραχήλου, καὶ ἄγχων, τὸ θηρίον ἔπεισε. Συλλαβὼν οὖν αὐτὸν, ἧκε διὰ Τροιζῆνος ποιησάμενος τὴν ἀνάβασιν. Ἡρακλῆς δὲ Εὐρυσθεῖ δείξας τὸν Κέρβερον, πάλιν ἐκόμισεν εἰς Ἅιδου.

CAP. XVIII.

Τὰ Ἡρακλέους μετὰ τοὺς Ἄθλους.

Κλαπεισῶν ἐξ Εὐβοίας βοῶν, Εὔρυτος Οἰχαλίας δυνάστης ἐνομιζεν ὑφ' Ἡρακλέους γεγονέναι τοῦτο. Ἴφιτος δὲ, ὁ Εὐρύτου παῖς, ἀπιστῶν ἀφικνεῖται πρὸς Ἡρακλέα, καὶ συντυχὼν ἥκοντι ἐκ Φερῶν αὐτῷ παρακαλεῖ συζητῆσαι τὰς βόας. Ἡρακλῆς δὲ ὑπισχνεῖται, καὶ ξενίζει μὲν αὐτόν· μανεὶς δὲ αὖθις ἀπὸ τῶν Τιρυνθίων ἔρριψεν αὐτὸν τειχῶν. Καθαρθῆναι δὲ θέλων τὸν φόνον (1.) εἰς Ἀμύκλας παραγενόμενος ὑπὸ Δηϊφόβου καθαίρεται. Κατασχεθεὶς δὲ δεινῇ νόσῳ διὰ τὸν Ἰφίτου φόνον εἰς Δελφοὺς παραγενόμενος ἀπαλλαγὴν ἐπυνθάνετο τῆς νόσου. Μὴ χρησμῳδούσης δὲ αὐτῷ

(1.) Les verbes qui à l'actif prennent deux accusatifs, l'une de la personne, qui est ordinairement le véritable objet, et l'autre de la chose, peuvent prendre au passif l'accusatif de la chose.

τῆς Πυθίας, τόν τε ναὸν συλᾷν ἤθελε, καὶ τὸν τρίποδα βαστάσας παρασκευάζει μαντεῖον ἴδιον. Μαχομένου δὲ αὐτῷ Ἀπόλλωνος, ὁ Ζεὺς ἵησι μέσον αὐτῶν κεραυνόν. Καὶ τοῦτον διαλυθέντων τρόπον λαμβάνει χρησμὸν Ἡρακλῆς, ὃς ἔλεγεν ἀπαλλαγὴν αὐτῷ τῆς νόσου ἔσεσθαι πραθέντι καὶ τρία ἔτη λατρεύσαντι. Τοῦ δὲ χρησμοῦ δοθέντος, Ἑρμῆς Ἡρακλέα πιπράσκει, καὶ αὐτὸν ὠνεῖται Ὀμφάλη, ἡ βασιλεύουσα Λυδῶν.

Μετὰ δὲ τὴν λατρείαν ἀπαλλάγεις τῆς νόσου ἐπὶ Ἴλιον ἔπλει πεντηκοντόροις ὀκτωκαίδεκα (1.)· καὶ τὴν μὲν τῶν νεῶν φυλακὴν Ὀϊκλεῖ κατέλιπεν· αὐτὸς δὲ μετὰ τῶν ἄλλων ἀριστέων ὥρμα ἐπὶ τὴν πόλιν. Τῆς δὲ πολιορκίας ἐνεστώσης, ῥήξας τὸ τεχος, Τελαμὼν πρῶτος εἰσῆλθεν εἰς τὴν πόλιν. Ὡς δὲ ἐθεάσατο Τελαμῶνα πρῶτον εἰσεληλυθότα, σπασάμενος τὸ ξίφος, ἐπ' αὐτὸν ᾔει, μηδένα θέλων ἑαυτοῦ κρείττονα νομίζεσθαι. Συνιδὼν δὲ τοῦτο Τελαμὼν πλησίον λίθους κειμένους συνήθροιζε. Τοῦ δὲ ἐρομένου τί πράττοι

(1.) La circonstance d'accompagnement se met au datif sans σὺν, quand il est question de forces militaires.

"βωμὸν", εἶπεν, "Ἡρακλέους κατασκευάζειν Καλλινίκου." Ὁ δὲ ἐπαινέσας, ὡς εἷλε τὴν πόλιν, κατατοξεύσας Λαομέδοντα καὶ τοὺς παῖδας αὐτοῦ, χωρὶς Ποδάρκου, Τελαμῶνι ἀριστεῖον Ἡσιόνην, τὴν Λαομέδοντος θυγατέρα, δίδωσι· καὶ ταύτῃ συγχωρεῖ τῶν αἰχμαλώτων ὃν ἤθελεν ἄγεσθαι. Τῆς δὲ αἱρουμένης τὸν ἀδελφὸν Ποδάρκην, ἔφη δεῖν πρῶτον αὐτὸν δοῦλον γενέσθαι, καὶ τότε τί ποτε δοῦσαν ἀντ' αὐτοῦ, λαβεῖν αὐτόν. Ἡ δὲ, πιπρασκομένου, τὴν καλύπτραν ἀφελομένη τῆς κεφαλῆς ἀντέδωκεν· ὅθεν Ποδάρκης ΠΡΙΑΜΟΣ ἐκλήθη.

Πλεύσας δὲ ἀπὸ Τροίας, προσέπλει τῇ Κῷ· καὶ νομίσαντες αὐτὸν οἱ Κῷοι ληστρικὸν ἄγειν στόλον, βάλλοντες λίθοις προσπλεῖν ἐκώλυον. Ὁ δὲ βιασάμενος τὸν νῆσον εἷλε, καὶ τὸν βασιλέα Εὐρύπυλον ἔκτεινεν. Ἐτρώθη δὲ κατὰ τὴν μάχην Ἡρακλῆς ὑπὸ Χαλκώδοντος.

Πορθήσας δὲ Κῶ, μετ' οὐ πολὺ ἐπ' Αὐγέαν ἐστρατεύετο, καὶ εἷλε τὴν Ἦλιν· καὶ κτείνας μετὰ τῶν παίδων Αὐγέαν, κατήγαγε Φυλέα, καὶ τούτῳ τὴν βασιλείαν ἔδωκε. Μετὰ δὲ τὴν Ἤλιδος ἅλωσιν ἐστράτευσεν ἐπὶ Πύλον, καὶ τὴν πόλιν ἑλὼν Περικλύμενον κτείνει, τὸν ἀλκιμώτατον τῶν Νηλέος παίδων ὃς μεταβάλ-

λων τὰς μορφὰς ἐμάχετο. Τὸν δὲ Νηλέα καὶ τοὺς παῖδας αὐτοῦ χωρὶς Νέστορος, ἀπέκτεινεν.

Ἑλὼν δὲ τὴν Πύλον, ἐστράτευεν ἐπὶ Λακεδαίμονα. Ὠργίζετο μὲν γὰρ τοῖς Ἱπποκόωντος παισὶ, καὶ διότι Νηλεῖ συνεμάχησαν, μᾶλλον δὲ ὀργίσθη ὅτι τὸν Λικυμνίου παῖδα ἀπέκτειναν. Θεωμένου γὰρ αὐτοῦ τὰ Ἱπποκόωντος βασιλεία, ἐκδραμὼν κύων τῶν Μολοττικῶν ἐπ᾽ αὐτὸν ἐφέρετο· ὁ δὲ βαλὼν λίθον, ἐπέτυχε τοῦ κυνός. Ἐκτροχάσαντες δὲ οἱ Ἱπποκοωντίδαι, καὶ τύπτοντες αὐτὸν τοῖς σκυτάλοις, ἀπέκτειναν. Κατὰ δὲ τὴν μάχην τελευτᾷ Ἴφικλος, ὁ τοῦ Ἡρακλέους ἀδελφός. Ἡρακλῆς δὲ κτείνας τὸν Ἱπποκόωντα καὶ τοὺς παῖδας αὐτοῦ, χειρωσάμενος τὴν πόλιν, Τυνδάρεω καταγαγὼν, τὴν βασιλείαν παρέδωκε τούτῳ.

Γήμας δὲ Δηϊάνειραν τὴν Οἰνέως θυγατέρα, κατεπολέμησε Θεσπρωτοὺς, καὶ Δρύοπας, καὶ Εὔρυτον τὸν Οἰχαλίας βασιλέα. Θέλοντος δὲ Ἡρακλέους τὸν Εὔηνον ποταμὸν διαβαίνειν, Νέσσος ὁ Κένταυρος καθύβρισε Δηϊάνειραν· τοξευθεὶς δὲ ὑπὸ Ἡρακλέους, καὶ μέλλων τελευτᾷν, προσκαλεσάμενος εἶπεν, "εἰ θέλοι ἀντεράσθαι ὑφ᾽ Ἡρακλέους ἀεὶ, τὸ ῥυὲν ἐκ τοῦ

τραύματος τῆς ἀκίδος αἷμα λαβεῖν." Ἡ δὲ ποιήσασα τοῦτο, ἐφύλαττε παρ' ἑαυτῇ.

Χρόνος ἐν μέσῳ, καὶ μέλλων ἱερουργεῖν Ἡρακλῆς, πρὸς Δηϊάνειραν Λίχαν ἔπεμψε, λαμπρὰν ἐσθῆτα οἴσοντα· ἡ δὲ τῷ αἵματι Νέσσου τὸν χιτῶνα ἔχρισεν. Ἐνδὺς δὲ Ἡρακλῆς, ἔθυεν. Ὡς δὲ, θερμανθέντος τοῦ χιτῶνος, ὁ τῆς ὕδρας ἰὸς τὸν χρῶτα ἔσηπε, τὸν μὲν Λίχαν τοῖν ποδοῖν ἀράμενος, κατηκόντισεν, τὸν δὲ χιτῶνα ἀπέσπα προσπεφυκότα τῷ σώματι· συναπεσπῶντο δὲ αἱ σάρκες αὐτῷ. Τοιαύτῃ τῇ συμφορᾷ κατεσχεθεὶς, εἰς Οἴτην ὄρος κομίζεται, κἀκεῖ πυρὰν ποιήσας, ἐκέλευσεν, ἐπιβάντος, ὑφάπτειν. Ποίας δὲ, ὁ Ἀργοναύτης, παριὼν ὑφῆψε. Τούτῳ δὲ καὶ τὰ τόξα ἐδωρήσατο Ἡρακλῆς. Δηϊάνειρα μέντοι αἰσθανομένη τὸ γεγονὸς, ἑαυτὴν ἀνήρτησε. Τὸν Ἡρακλέα δὲ, λέγεται νέφος ὑποστὰν μετὰ βροντῆς εἰς οὐρανὸν ἀναπέμψαι.

ΤΕΛΟΣ

Σ.

Ἡ δὲ

Ἡρα-
λαμ-
έσσου
κλῆς,
ὸ τῆς
ν τοῖν
ντῶνα
ναπε
συμ-
εται,
ντος,
ριῶν
ατο
η τὸ
δέ,
οὐ-